Zu den

öffentlichen Prüfungen

sämmtlicher Classen

des Fürstlichen Gymnasiums und der Realschule

Mittwoch den 21. und Freitag den 23. März

sowie zu dem

Sittenfest

Sonnabend den 24. März früh $10\frac{1}{2}$ Uhr

ladet ergebenst ein

Professor **Dr. Ernst Klussmann,**
Director.

Inhalt: 1) *Θεοδώρου Ἀγκυλίωνος τῶν περὶ Ἰσοκράτη ζητήσεων βιβλίον α'.* (Theodor Henkel: Untersuchungen über Isokrates. 1. Theil.)
2) Schulnachrichten vom Director.

Rudolstadt 1877.

Druck der F. priv. Hofbuchdruckerei.

1877. Progr. Nr. 579.

ΘΕΟΔΩΡΟΥ ΑΓΚΥΛΙΩΝΟΣ
ΤΩΝ ΠΕΡΙ ΙΣΟΚΡΑΤΗ ΖΗΤΗΣΕΩΝ
ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

*Ὁ πρῶτος λόγος ὁ νῦν ἐν τοῖς Ἰσοκρατείοις φερόμενος ἐπιγράφεται μὲν ὡς ἐπὶ τὸ πολὺ **Πρὸς Δημόνικον παραίνεσις**· οἱ δὲ καθ' Ἁρποκρατίωνα α') καὶ πληθυντικῶς **Πρὸς Δημόνικον παραινέσεις** αὐτὸν ἐπιγράφουσιν· οἱ δὲ καὶ **Ἐπιστολὴν πρὸς Δημόνικον**, ὥς φησιν ὁ τὴν καλουμένην ὑπόθεσιν συνθεὶς γραμματικὸς, κατὰ δὲ τὸ ἄριστον ἀντίγραφον ἁπλῶς **Πρὸς Δημόνικον** δόξειεν ἂν τὸν λόγον δεῖν ἐπιγραφῆναι. τίς δ' ἦν ὁ Δημόνικος οὗτος οὔτ' ἄλλοθέν ποθεν δῆλον οὔτ' ἐξ αὐτοῦ τοῦ λόγου πολλὰ καὶ ἀξιομνημόνευτα ἔστι μαθεῖν περὶ αὐτοῦ τοῖς εἰδέναι βουλομένοις, πλὴν ὅτι υἱὸς ἦν Ἱππονίκου, ἀνδρὸς πλουσίου καὶ ἅμα καλοῦ κἀγαθοῦ, ὥστε **τὰς προαιρέσεις αὐτοῦ οἰκεῖον καὶ καλὸν** δύνασθαι εἶναι **παράδειγμα** τῷ υἱῷ· δῆλον δὲ καὶ ἐξ ὧν Ἰσοκράτης μνημονεύει, β') ὅτι Δημόνικος καὶ ὁ πατὴρ αὐτοῦ Ἱππόνικος οὔτ' Ἀθηναῖοι ἦσαν οὔθ' ὅλως ἐν δημοκρατουμένῃ πόλει, ἀλλ' ἐν βασιλευομένῃ διῆγον τὸν βίον· ὅτι δὲ Κύπριος ἦν Ἱππόνικος, φησὶ μὲν ὁ τὴν ὑπόθεσιν τοῦ λόγου συγγράψας ἀνώνυμος γραμματικὸς — Ζώσιμον δ' αὐτῷ ὄνομα εἶναι ὑπείληφε Βεστερμανὸς — προσθεὶς **ὡς ἔχει ὁ πολὺς λόγος**· δοκεῖ δέ μοι μᾶλλον τοῦτο εἰκάσαι ἐκ τῆς συνηθείας, ᾗ Ἰσοκράτει ἦν πρὸς Νικοκλέα, τὸν τῆς ἐν Κύπρῳ Σαλαμῖνος βασιλέα. πρὸς τοῦτον γὰρ Ἰσοκράτης τὸν δεύτερον καὶ τρίτον καὶ ἔννατον λόγον ἔγραψε· φαίνεται δὲ τρόπον τινὰ ὅμοιος ὢν ὁ πρὸς Δημόνικον λόγος τῷ πρὸς Νικοκλέα γεγραμμένῳ· ἐν τῷ μὲν γὰρ ὁ ῥήτωρ συμβουλεύει, ὡς δεῖ ἄνδρα βασιλέα ζῆν καὶ τῶν πολιτῶν ἄρχειν, ἐν δὲ τῷ πρὸς Δημόνικον, ὡς χρὴ ζῆν τὸν ἰδιώτην.* Α'

Ὁ δὲ Κωνσταντῖνος ὁ Πορφυρογέννητος διορίζεται, Δημόνικον βασιλέα γενέσθαι Κύπρου, παντάπασιν ἄτοπον· ἐπειδὴ, ὡς καὶ Κοραῆς φησιν γ'), Δημόνικος τοσοῦτου ἐδέησεν αὐτὸς βασιλεῦσαι, ὥστε καὶ ἐπὶ τὸ πείθεσθαι τοῖς βασιλεῦσιν ὑπ' Ἰσοκράτους προτρέπεται. πολὺ δ' ἔτι γελοιότερόν ἐστιν, ὃ Τζέτζης γράφει, δ') Δημόνικον καὶ υἱὸν γενέσθαι Εὐαγόρου. Ἰσοκράτης γὰρ αὐτὸς διαῤῥήδην λέγει, ὅτι Ἱππονίκου μὲν υἱὸς ἦν Δημόνικος, Εὐαγόρου δὲ Νικοκλῆς. Β'

α') Λέξ. ἐπακτὸς, σελ. οϛ'. στίχ. ια' ἐκδ. Βεκκ.

β') ἐν τῇ λϛ' παραγρ.

γ') Ἰσοκράτους λόγ. τόμ. β'. σελίδ. α'.

δ') Θανόντος Εὐαγόρου δὲ γράφει πρὸς παῖδα τούτου, Ὧι κλῆσις ἦν Δημόνικος, πολλὰς τὰς παραινέσεις.

Ἔτι δ' ἐκ τοῦ πρὸς Δημόνικον λόγου μανθάνομεν, ὅτι Ἰσοκράτης καὶ Ἱππονίκῳ, τῷ Δημονίκου πατρὶ, συνήθης ἦν.

Γ' Κατὰ τίνα δὲ χρόνον ἐγράφη ὁ πρὸς Δημόνικον λόγος, οὐκ ἔστιν ἀκριβῶς διορίσαι· οἱ δὲ φάσκοντες αὐτὸν πρότερον εἶναι τῶν πλείστων ἄλλων λόγων Ἰσοκράτους καὶ γραφῆναι αὐτὸν ὑπ' αὐτοῦ ἔτι ἀκμάζοντος οὐ πολὺ διεψεῦσθαι τῆς ἀληθείας μοι δοκοῦσιν· οἶμαι γὰρ πολλὰ ἐν αὐτῷ ἐνεῖναι τῷ λόγῳ, ἐξ ὧν ἄν τις δικαίως τοῦτο συλλογίσαιτο. περιέχει δ' ὁ λόγος παντοῖα παραγγέλματα πρὸς τὸ καλῶς καὶ εὐδαιμόνως ζῆν διεξιόντος τοῦ ῥήτορος, δι' ὧν ἄν τις ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοίη καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμήσειεν. ἔχει δὲ τὰ παραγγέλματα ταῦτα ὡς ἐπὶ τὸ πολὺ καλῶς ἐπιδεικνύοντα τὴν σωφροσύνην καὶ φρόνησιν τοῦ συγγράψαντος. διόπερ καὶ πολλοὶ τῶν παλαιῶν καὶ τῶν νεωτέρων [α'] ἐπῄνεσαν τὸν λόγον, ὡς ὠφέλιμον ὄντα εἰς τὴν τῶν νέων παίδευσιν.

Δ' Τίς δ' ἐστὶν ὁ συνθεὶς τὸν λόγον καὶ τῶν παλαιῶν τινες, ὡς ἐκ τῶν τῷ καλουμένῳ Ζωσίμῳ γεγραμμένων ἄν τις μάθοι, ἠπόρουν· καὶ δὴ καὶ τῶν ὕστερον καὶ τῶν καθ' ἡμᾶς σοφῶν ἀνδρῶν πολλοὶ ἔξαρνοι ἐγένοντο μὴ εἶναι τὸν λόγον τοῦ μεγάλου Ἰσοκράτους τοῦ ἐν τοῖς ὀνομαστοῖς δέκα ῥήτορσιν ἀριθμουμένου. Ἵνα δὲ τὰς παλαιῶν τινων ἀμφισβητήσεις ταύτας ἐν τῷ παρόντι ἀφῶμεν — ὕστερον γὰρ ἐπ' αὐτὰς ἡμῖν ἔσται ἐπανιτέον — πρῶτος τῶν νεωτέρων ὧν ἡμεῖς ἴσμεν Μούρητος ἐν τῷ πρώτῳ κεφαλαίῳ τῶν Ποικίλων Ἀναγνώσεων τεκμηράμενος ἐκ τῶν ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως γραφέντων [β'] ἐν τῇ ῥητορικῇ τέχνῃ τῶνδε· „Ἰσοκράτης μὲν, ὁ σὸς ἑταῖρος καὶ ἐμὸς, ὦ Ἐχέκρατες, εἴπερ ἄλλο τι, φησὶ χρῆναι προσεῖναι τοῖς σπουδαίοις ἀνθρώποις, ἐν τῇ Παραινέσει τῇ πρὸς τὸν Ἱππονίκου, καὶ τὴν φιλοπροσηγορίαν· ὅπερ ἐστὶ τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, ὡς αὐτός φησιν“ ἀπεφήνατο κατὰ τὸν αὐτὸν χρόνον Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ γενέσθαι τὸν ῥήτορα, ὑφ' οὗ συνεγράφη ὁ πρὸς Δημόνικον λόγος, διότι ἑταῖρον αὐτὸν καλεῖ Διονύσιος. Ἀλλὰ τίς οὐκ ἂν συνίδοι, ὅτι οὐδὲν κωλύει τὸ ὄνομα ἑταῖρος τροπικῶς ἐνταῦθα ἀποδέξασθαι, ὥστε Διονύσιον μηδὲν ἄλλο λέγειν ἢ τὸν ῥήτορα, οὗ τοὺς λόγους σύ τε κἀγὼ φιλοῦμεν πολλάκις αὐτοὺς διεξιόντες καὶ συνδιατρίβοντες τῷ βιβλίῳ ὥσπερ φίλῳ; ὅτι δ' αὕτη ἡ ἐξήγησις μόνη ἀληθής ἐστιν, ὕστερον ἐπιδείξω· νῦν δ' οὐ δεῖ παραλιπεῖν, ὅτι οὐδὲ Μούρητον διέλαθεν, ὡς Ἑρμογένης τε καὶ ἄλλοι τῶν παλαιῶν διδασκάλων τῆς ῥητορικῆς ὡς Ἰσοκράτους τοῦ πάνυ συγγράψαντος τὸν πρὸς Δημόνικον λόγον μέμνηνται.

Ε' Τὴν δ' αὐτὴν γνώμην Μουρήτῳ ἀπεφήνατο καὶ Ἕρρικος Στέφανος ἐν ταῖς Ἰσοκρατικαῖς διατριβαῖς, ἃς ἐξέδωκε μετὰ τῶν Ἰσοκράτους λόγων ἔτει ͵αφλγ'. ὅτι δὲ Στέφανος οὐ πρῶτος τὴν γνώμην ταύτην ἀπεφήνατο, ὡς Βλάσσιος [γ'] καὶ Σάνδυς [δ'] καὶ πολλοὶ ἄλλοι τῶν καθ' ἡμᾶς φιλολόγων ὑπειλήφασι, παντὶ οἶμαι ἔσεσθαι φανερὸν τῷ διανοουμένῳ, ὅτι Μουρήτου Ποικίλαι Ἀναγνώσεις πρῶτον ἐξεδόθησαν ἐν Βενετίαις ἔτει ͵αφνθ', ὅπερ οὐ μόνον Ῥυγκήνιός φησιν [ε'], ἀλλὰ καὶ αὐτῷ ἔξεστιν ἐμοὶ διαβεβαιοῦσθαι

α') οἷον Μούρητος, Ποικίλων Ἀναγνώσεων βιβλ. α'. κεφ. α'. Ἱερώνυμος δὲ Βόλφιος ἐν τῷ προοιμίῳ· πάντως οὖν χρὴ, φησὶ, τοὺς ἐλευθέρους τῶν παίδων ἐκμανθάνειν τὰς ἡδίστας ταυτασὶ καὶ μάλιστα σωτηριώδεις παραινέσεις· οὐχ οἷόν τε γὰρ οὐδενὶ πώποτε τούτου τοῦ πόνου μεταμελῆσαι.

β') κεφ. ε'.

γ') Περὶ τῶν Ἀττικῶν ῥητόρων τόμ. β'. σελ. συε'.

δ') Προοιμ. τῆς Ἰσοκράτ. ἐκδόσ. σελ. λβ'.

ε') Μουρήτου Συγγραμμ. τόμ. δ'. σελ. ιη'.

ἅτε κεκτημένῳ τὴν ἔκδοσιν ἐκείνην. Τῇ δὲ Μουρήτου γνώμῃ τρόπον τινὰ συνᾴδει καὶ
Κοραῆς καθ' ὅσον οὐ τοῦ μεγάλου Ἰσοκράτους φησὶν εἶναι τὸν πρὸς Δημόνικον λόγον,
εἰ καὶ μὴ πάνυ πέπεισται γενέσθαι τινὰ Ἰσοκράτη ῥήτορα ἡλικιώτην καὶ φίλον ὄντα
Διονυσίου τοῦ Ἁλικαρνασσέως. Ὁ δ' αὐτὸς Μούρητος κατενόησεν ἤδη, ὡς ὁ πρὸς
Δημόνικον λόγος ὑφ' Ἁρποκρατίωνος ἅπαξ ἀνατίθεται Ἰσοκράτει τῷ Ἀπολλωνιάτῃ, ὃς
κατὰ Σουΐδαν ἦν μαθητὴς τοῦ μεγάλου Ἰσοκράτους. διὸ ἄλλοι τὸν λόγον τούτου τοῦ
Ἀπολλωνιάτου εἶναι ἐνόμιζον, περὶ οὗ ὕστερον ἐρῶ.

Οὐ μὴν ἀλλ' ἐπειδὴ ἅπαξ οἱ γραμματικοὶ ἤρξαντο ἀμφισβητεῖν περὶ τοῦ συνθέντος ϛ'
τὸν λόγον, πολλοὶ ὥσπερ χαλεπῶς φέροντες ἐλέγχεσθαι ὑπ' ἄλλων τοὺς ἐκ Διονυσίου
τεκμαιρομένους νόθον εἶναι τὸν λόγον, ἐπειρῶντο ἐξ αὐτοῦ τοῦ λόγου ἐπιδεικνύναι οὐ
δυνάμενον αὐτὸν εἶναι τοῦ μεγάλου Ἰσοκράτους· ἔλεγον γὰρ πολλὰ ἐν αὐτῷ εὑρίσκεσθαι
ὀνόματα, οἷς ὁ Ἀθηναῖος Ἰσοκράτης ἐν τοῖς ἄλλοις λόγοις τοῖς ὁμολογουμένοις αὐτοῦ
εἶναι οὔποτε κέχρηται, ἔτι δὲ τὴν φράσιν ὅλην ἀσθενῆ εἶναι καὶ ἀναξίαν τοῦ περιβοήτου Ζ'
ῥήτορος. Τῷ δ' αὐτῷ τεκμηρίῳ καὶ ὁ καλούμενος Ζώσιμος ἐνίους φησὶ χρήσασθαι τῶν
παλαιῶν· καὶ δὴ καὶ Ἐρρίκος Στέφανος ἐν ταῖς Ἰσοκρατικαῖς διατριβαῖς, περὶ ὧν ἤδη
μνείαν ἐποιησάμην, πολλὰ ἐπετίμησε τῷ λόγῳ ὡς τῆς φράσεως καί τινων λέξεων ἀναξίων
οὐσῶν Ἰσοκράτους. Ὕστερον δὲ πολὺ τῷ ἑβδόμῳ ἔτει τῆς νῦν παρούσης ἑκατοντα-
ετηρίδος Ἀδαμάντιος Κοραῆς, ὁ ἰατρός, δι' ὁμοίας αἰτίας ἀπεδοκίμασε τὸν λόγον.[α']
Παύλιος δέ, ὃς Ἰσοκρατικὰ ζητήματα ἐξέδωκε Ῥωμαϊστὶ γραφέντα ἔτει ͵αωκη', Ἰσοκράτους
μὲν εἶναι τὸν λόγον ἀπεφήνατο, διαφθαρῆναι δ' αὐτὸν θαυμαστὸν ὅσον καὶ ἑτέρων
ὑποθηκῶν παρεμβολῇ ὑπὸ τῶν μεταγραφόντων αὐξηθῆναι. Μετὰ δὲ Παύλιον καὶ Η'
Φούνδιος συγγραμμάτιον περὶ Ἰσοκράτους βίου τε καὶ συγγραμμάτων Ῥωμαϊστὶ γεγραμ-
μένον ἔτει ͵αωλγ' ἐκδοὺς τὸν λόγον ἔκρινε νόθον. Βησέληρος δὲ καὶ ἄλλῳ πίστεων
γένει χρώμενος, ᾧ πρὸ αὐτοῦ οὐ πάνυ προσεῖχον τὸν νοῦν οἱ γραμματικοί, τῇ Παυλίου
γνώμῃ προσέθετο. κατανοήσας γὰρ ἐν τῷ λόγῳ φωνηέντων τινὰς συγκρούσεις — ἃς
φεύγει Ἰσοκράτης — καὶ τὰ οὕτως ἐξημαρτημένα ἀκριβέστερον ἐξετάσας ἐν τῷ πρώτῳ
βιβλίῳ περὶ τῆς συγκρούσεως τῶν φωνηέντων ἐκδοθέντι ἐν Φριβέργῃ ἔτει ͵αωμα' πάντα
τὰ μέρη, ἐν οἷς συγκρούεται φωνήεντα, οὐκ εἶναι Ἰσοκράτους, ἀλλ' ὑπὸ τῶν μετα-
γραφόντων προστεθῆναι ἢ διαφθαρῆναι νομίζει· τὰ δ' ἄλλα καὶ μάλιστα τὴν ἀρχὴν
καὶ τὴν τελευτὴν τοῦ λόγου εἰλικρινὲς εἶναι ἔργον Ἰσοκράτους ἔκρινεν. Ὁ δ' αὐτὸς
Βησέληρος ἐνίοις ἔτεσιν ὕστερον, ὅτε ἐν τῷ Τευβνηροῦ τυπογραφείῳ τοὺς Ἰσοκράτους
λόγους ἐξεδίδου, ἐν οἷς προοιμιάζεται περὶ Ἰσοκράτους ἤδη μεταγνοὺς ὅλον τὸν λόγον
οὐκ εἶναι τοῦ Ἀθηναίου Ἰσοκράτους ἀπεφήνατο Ἰσοκράτει τῷ Ἀπολλωνιάτῃ αὐτὸν
ἀναθείς. Ἄλλοι δ' ἐπιφανεῖς γραμματικοί, ὧν πρωτεύουσι Βαίτηρος καὶ Σαύππιος, Θ'
οἳ κατ' ἐκεῖνον τὸν χρόνον ἅπαντα τὰ τῶν Ἀττικῶν ῥητόρων σωζόμενα ἐξέδωκαν, καὶ
Ὄθων Σνείδηρος, ὃς τόν τε πρὸς Δημόνικον λόγον καὶ τὸ Εὐαγόρου ἐγκώμιον μετὰ
προοιμίου καὶ σημειώσεων Γερμανικῶς γεγραμμένων ἐξέδωκεν ἐν Λειψίᾳ πρῶτον μὲν
ἔτει ͵αωνθ', δεύτερον δ' ἔτει ͵αωογ' ἀπολογούμενοι πρὸς τὰ ὑπὸ Βησελήρου τοῦ λόγου
κατηγορημένα τῆς γνώμης αὐτὸν ἡμαρτηκότα ἐπιδεῖξαι ἐπειρῶντο. Ὁ δὲ Βησέληρος
τοῖς εἰρημένοις οὐ πεισθεὶς οἷον λαβὴν αὐτῷ ἀποδούσης τῆς Σνειδήρου ἐκδόσεως ἐν

α') φησὶ δὲ (Ἰσοκράτ. τόμ. β'. σελίδ. α')· πρὸς γὰρ τοὺς νοθείας αὐτὴν [τὴν παραίνεσιν] γραφομένους οὔ μοι δοκεῖ ἀμφισβητητέον εἶναι, οὐ μόνον δι' ἐνίας ἐν αὐτῇ φερομένας ὑποθήκας, βασιλευομένης μᾶλλον ἢ δημοκρατουμένης πόλεως ῥήτορι οἰκείας, ἀλλὰ καὶ διὰ τὴν ἰδέαν ὅλην τοῦ λόγου. Εἰ γὰρ ἐξέλοις τὰ φίλα Ἰσοκράτει ἀντίθετα (καὶ ταῦτα μέντοι μακρῷ κατακορέστερον ἐν τῷδε ἢ τοῖς ἄλλοις λόγοις σεσωρευμένα), ἀφέστηκε δηλονότι τῆς Ἰσοκρατείου ἰδέας ἡ τῆς πρὸς Δημόνικον παραινέσεως ἰδέα.

Ἰανίου Χρονικοῖς ἐκδοθεῖσιν ἔτει ͵αωξ' (τόμ. πβ'. σελ. ρκα'—ρλγ') διὰ μακροτέρων
Ι' αὖθις ἐπιδεῖξαι ἐπειράθη τὸν λόγον οὐκ ὄντα Ἰσοκράτους. Ὀκτὼ δ' ἔτεσιν ὕστερον Ἐδουῖνος Σάνδυς ἐξέδωκεν ἐν Λονδινίῳ καὶ Ὀξονίῳ καὶ Κανταβέργῃ τόν τε πρὸς Δημόνικον λόγον καὶ τὸν Πανηγυρικὸν μετὰ προοιμίου καὶ σημειώσεων Ἀγγλιστὶ συγγραφεισῶν βουλόμενος πάλιν ἐλέγξαι Βησέληρον καὶ ἐπιδεῖξαι, ὅτι ὁ λόγος Ἰσοκράτους ἐστίν. Ἐπειδὴ δ' οὐ πάντα ἐν οἷς Βησέληρος διήμαρτε τῆς ἀληθείας, ἤλεγξεν, ἄλλα δὲ παρέλιπεν, ἃ οὐκ ἂν εἴη ἀλλότρια τῇ ζητήσει — τὰ γὰρ ἐν Ἰανίου Χρονικοῖς ὑπὸ Βησελήρου τῷ λόγῳ ἐπιτιμώμενα οὐδ' εἶδεν — διὰ τοῦτο, ὡς ἔοικεν, ὁ νῦν μεγίστην ἐπὶ τῇ γνώσει τῶν Ἀττικῶν ῥητόρων δόξαν εἰληφὼς Φεδέριχος Βλάσσιος τοῖς μὲν Σάνδυος λόγοις οὐ πεισθεὶς, τὴν δὲ Βησελήρου γνώμην προελόμενος καὶ αὐτὸς τὸν λόγον ἔκρινεν εἶναι νόθον ὑπ' ἄλλου Ἰσοκράτους — εἰ δ' ὑπὸ τοῦ Ἀπολλωνιάτου ἀσαφές —
ΙΑ' συγγραφέντα. Τούτων δ' οὕτως ἐχόντων ἐγὼ ἄξιον εἶναι ἡγησάμην ὅλην τὴν πραγματείαν καὶ ζήτησιν πάλιν ἐπαναλαβεῖν ἐλπίζων τοῖς μέλλουσι ῥηθήσεσθαι πείσειν Βλάσσιόν τε καὶ τοὺς ταὐτὰ αὐτῷ φρονοῦντας, ὡς ὁ πρὸς Δημόνικον λόγος γνήσιον σύγγραμμα τοῦ μεγάλου Ἰσοκράτους ἐστίν. Τοῦτο δ' ἐπιδείξων, ἵνα τελέα μοι ἡ σκέψις ᾖ, πρῶτον μὲν τὰ ὑπὸ τῶν τῷ λόγῳ ἐναντιουμένων αὐτῷ ὀνειδιζόμενα ἐπισφαλῆ καὶ μάταια ὄντα ἐξελέγξω· ἔπειτα διέξειμι, τίσι τῶν παλαιῶν μαρτυρίαις ἄν τις πεποιθὼς τὸν λόγον Ἰσοκράτους εἶναι νομίσειε καὶ τίνα ἐν αὐτῷ τῷ λόγῳ ἐνόντα ἄλλως τε καὶ εἴ τις αὐτὸν παραβάλοι τοῖς ἄλλοις Ἰσοκράτους συγγράμμασιν ἐπιδείξειεν ἄν, ὡς εἰλικρινὲς καὶ γνήσιον ἔργον Ἰσοκράτους ἐστίν. οἱ δ' ἀνταγωνισταὶ, πρὸς οὓς ἔσται μοι ἀμφισβητητέον ὑπὲρ Ἰσοκράτους, ἐν τοῖς πρώτοις ἔσονται Βλάσσιός τε καὶ Βησέληρος, οἳ καὶ αὐτοὶ οὐ πάντα ἀλλήλοις ὁμολογοῦσιν. καὶ μηδεὶς ὑπολάβῃ μ' ἀγνοεῖν, ὅτι πολλὰ τῶν μελλόντων ῥηθήσεσθαι ὑπ' ἄλλων τε καὶ Σνειδήρου καὶ Σάνδυος ἤδη εἰς τὸ μέσον ἐνεβλήθη. ὁ δὲ σκοπὸς, οὗ στοχάζομαι τὰ παρόντα γράφων, ἠνάγκασέ με καὶ τὰ ὑπ' ἄλλων ἤδη προκατειλημμένα συλλέξαι τε καὶ ὑπὸ μίαν σύνοψιν ἀγαγεῖν· σαφέστερα γὰρ ἅπαντα ἔσται, ἢν τὰ τοιαῦτα πάντα ἐν τῇ ζητήσει κοινωνὰ συμπαραλάβω.

ΙΒ' Ἃ μὲν οὖν Βησέληρος κατὰ τοῦ λόγου διέξεισιν ὡς ἐπιδεικνύοντα αὐτὸν νόθον ὄντα, ὥσπερ καὶ ἐν τοῖς πρόσθεν εἶπον, σχεδὸν τάδ' ἐστίν· Πρῶτον μὲν γὰρ πλεονάκις τὰ φωνήεντα συγκρούεσθαι ἐν τῷ λόγῳ φησίν· ἔπειτα πολλὰ ἐν αὐτῷ ἐνεῖναι ὀνόματά τε καὶ ῥήματα, ἃ ἐν τοῖς λοιποῖς Ἰσοκράτους λόγοις οὐχ εὑρίσκεται, καὶ ὅλως τὴν λέξιν πολλαχοῦ διαφέρειν τῆς Ἰσοκρατικῆς· πρὸς δὲ τούτοις καὶ ἀτάκτως ἐπ' ἀλλήλαις συννενῆσθαι τὰς ὑποθήκας· καὶ γὰρ καὶ τοῦτο λέγει σημεῖον εἶναι, ὅτι οὐκ Ἰσοκράτους ἐστὶν ὁ λόγος, ἐπειδὴ Ἰσοκράτης πολλῶν ἄλλων ῥητόρων διαφέρει τῷ τάξιν ἀκριβῆ τηρῆσαι ἐν τοῖς λόγοις καὶ ἀεὶ τὸ λεγόμενον τῷ προειρημένῳ συγκλεῖσαι.

ΙΓ' Ὅσον μὲν οὖν πρὸς τὴν σύγκρουσιν τῶν φωνηέντων, φαίνεται Ἰσοκράτης ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις φυλαξάμενος συγκρούειν φωνῆεν φωνήεντι, ὁπότ' ἐνδέχοιτο. δεῖ γὰρ ἐνθυμηθῆναι, ὅτι εἰσί τινες συγκρούσεις φωνηέντων, ἃς οὐδ' ἂν οἱ τραγῳδοὶ φύγοιεν, οἷον ὅταν περί, τί, ὅτι, καί συμπλήσσηται φωνήεντι ἑπομένῳ, ὡς περὶ αὐτοῦ, τί οὖν καὶ ὅσα τοιαῦτα, περὶ ὧν Βησέληρος ἐν τῷ πρώτῳ περὶ τῆς συγκρούσεως τῶν φωνηέντων βιβλίῳ[α']) διωρίσατο. ὅτι δὲ χωρὶς τῶν τοιούτων Ἰσοκράτης πάσας ἄλλας τὰς συμπλοκὰς καὶ παραθέσεις τῶν φωνηέντων ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις μετὰ πολλῆς σπουδῆς ἐφυλάξατο, ἔξεστι συλλογίσασθαι πρῶτον μὲν ἐκ τῶν λόγων αὐτοῦ τῶν σωζομένων. εἰ γὰρ καὶ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις, ἐξ ὧν ἐκδίδονται, ἐνίοτε σύγκρουσις

α') σελ. η' καὶ ταῖς ἐφεξῆς.

φωνηέντων εὑρίσκεται; ἀλλ' οὖν τοῦτό γε καὶ σπανιώτερον συμβαίνει ἢ ἐν τοῖς ἀντιγράφοις τῶν ἄλλων ῥητόρων καὶ δὴ ὡς ἐπὶ τὸ πολὺ ῥᾴδιόν ἐστιν ἐξελεῖν τὸ ἁμάρτημα μετρίᾳ μεταβολῇ· πολλάκις δὲ καὶ ὅπου ἐν τοῖς χείροσιν ἀντιγράφοις φωνήεντα συμβαίνει συγκρούεσθαι φωνήεσιν, ἐν τοῖς κρείττοσι τὸ ἁμάρτημα οὐχ εὑρίσκεται. καὶ οὕτω Βέκκηρος ἐκ τοῦ Οὐρβιναίου ἀντιγράφου πολλὰς γραφάς, ἃς ἡ συμπλοκὴ τῶν φωνηέντων ἡμαρτημένας ἐπεδείκνυεν, ἀπόνως ἐπηνωρθώσατο[α']. ἔπειτα τὸν τοῖς τοιούτοις ΙΔ'
προσέχοντα τὸν νοῦν οὐ δύναται διαλαθεῖν, ὅτι ὁ συνθεὶς τοὺς λόγους πλείστῃ ἐπιμελείᾳ ἐχρήσατο, ἵν' ἐκφύγοι τὰς τῶν φωνηέντων συγκρούσεις. πολλῶν γὰρ λέξεων ἀπὸ φωνήεντος ἀρχομένων ἢ εἰς φωνῆεν ληγουσῶν ἢ ἀπέχεται, ὅταν μελλούσης συγκρούσεως φωνηέντων γενήσεσθαι δι' αὐτῶν ἄλλη λέξις ταὐτὸ σημαίνουσα ὑπάρχῃ, ἢ καὶ ἑτέρως αὐτὰς σχηματίζει, ὅταν ἐξῇ, καὶ χρῆται πολλάκις τῷ παρὰ τοῖς ἄλλοις συγγραφεῦσι σπανιώτερον εὑρισκομένῳ σχήματι τῆς εὐφωνίας ἕνεκα, οἷον λέγει διότι ἀντὶ τοῦ ὅτι ὅταν τὸ προϊὸν ῥῆμα εἰς φωνῆεν λήγῃ, ἵν' ἐκφεύγῃ τὴν σύγκρουσιν τῶν φωνηέντων[β']. καὶ ὡσαύτως διὰ τὴν αὐτὴν αἰτίαν καὶ τοιοῦτον, τοσοῦτον, ταὐτὸν λέγει[γ']. καὶ τοσούτῳ — ὅσον ἀντὶ τοῦ τοσούτῳ — ὅσῳ, καὶ ἐπειδήπερ, καὶ εἴπερ καὶ ἤπερ. ἐνίοτε δὲ καὶ συνθέτοις χρῆται ἀνθ' ἁπλῶν, οἷον παραμελεῖν ἀντὶ τοῦ ἀμελεῖν, ὅταν τὸ ἁπλοῦν ἀπὸ φωνήεντος ἀρχόμενον σύγκρουσιν ποιῇ[δ'].

Ἄλλην δὲ μηχανήν, ὅπως ἂν ἐκφεύγοι τὴν συμπλοκὴν τῶν φωνηέντων, ἔχει τὴν ΙΕ'
τῶν ῥημάτων θέσιν· ἵνα γὰρ ἐκφεύγῃ τὴν ἐκ τῆς συμπλοκῆς τῶν φωνηέντων ἀηδίαν, τὰ ῥήματα συχνῶς οὕτω συνάπτει ὥστε τὰ φωνήεντα μὴ συνεμπίπτειν, εἰ καὶ ἡ τοιαύτη θέσις τῶν ῥημάτων τῆς κοινῆς τε καὶ συνήθους πολὺ διαφέρει. οἷον, ἵνα παραδείγματι χρώμενος τοῦτο δείξω, εἰ ἐν τῇ τοῦ Παναθηναϊκοῦ ρκζ' παραγραφῇ συνάψας Ἰσοκράτης τὰ λεγόμενα, ὡς ἂν ὁ τυχὼν συνάψειεν, εἶπεν· ἀλλὰ γὰρ χαλεπὸν ἦν, μᾶλλον δ' ἀδύνατον τὰ κατ' ἐκεῖνον τὸν χρόνον ἐπελθόντα εἰς τοῦτον τὸν καιρὸν ἀποθέσθαι, ὃν οὐ προῄδειν ἐσόμενον, δὶς συνέπληξεν ἂν τὰ φωνήεντα· ἐν τοῖς ἐπελθόντα εἰς καὶ ἀποθέσθαι ὅν· τοῦτ' οὖν ἵνα φυλάξαιτο συνῆψε τὰ ῥήματα ὧδε· ἀλλὰ γὰρ χαλεπὸν ἦν, μᾶλλον δ' ἀδύνατον τὰ κατ' ἐκεῖνον ἐπελθόντα τὸν χρόνον εἰς τοῦτον ἀποθέσθαι τὸν καιρόν, ὃν οὐ προῄδειν ἐσόμενον.

Ἔσται δὲ τοῦτ' ἔτι σαφέστερον παραβαλόντι τὰ Δημοσθένει ῥηθέντα ἐν τῇ τοῦ περὶ ΙϚ'
τοῦ στεφάνου ιη' παραγραφῇ· τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ, οὐ γὰρ ἔγωγε ἐπολιτευόμην πω τότε. ἐν τούτοις οὖν τρὶς συγκρούεται τὰ φωνήεντα, ὥστε ἐγὼ οὐκ ὀκνῶ διαβεβαιοῦσθαι, ὅτι Ἰσοκράτης οὐπώποτ' ἂν συνῆψεν οὕτω τὰ ῥήματα, ἀλλ' εἰκὸς αὐτόν, εἰ ἠβουλήθη ταῦτα λέγειν, ὧδ' ἂν συνάψαι τὰ ῥήματα· τοῦ πολέμου γὰρ οὐ δι' ἐμὲ τοῦ Φωκικοῦ συστάντος· οὐ γὰρ ἐπολιτευόμην ἔγωγέ πω τότε.

α') σημειοῦται δὲ Βέκκηρος τοῦ πρὸς Νικοκλ. λόγ. παραγρ. ε' τάδε· Ὅπουπερ τὴν ἀπόστροφον τέθεικα, τέθεικα συμβουλεύοντος τοῦ Οὐρβιναίου ἀντιγράφου.

β') Ἰδὲ Ε', α'· Μὴ θαυμάσῃς, ὦ Φίλιππε, διότι τοῦ λόγου κτλ. Ϛ', ιϛ'· ἵν' ἐπίστησθε διότι (ἐνταῦθα δὲ τὸ Οὐρβιναῖον ἀντίγραφον ἔχει ὅτι). Ϛ', κδ'· πᾶσι φανερὸν εἶναι, διότι τὴν κτλ. ΙΔ', κγ'· φανερὸν εἶναι, διότι (ἐκ τῆς Βησελήρου διορθώσεως· κοινῶς γὰρ ἀναγιγνώσκεται εἶναι φανερόν, ὅτι· τὸ δ' Οὐρβιναῖον ἀντίγρ. ἔχει διότι). ΙΕ', ρλγ'· καὶ διότι μᾶλλον κτλ. ΙΕ', σξγ'· τὸν λόγον εἴρηκα, διότι καὶ ταῦτα τὰ μαθήματα κτλ. ΙϚ', μγ'· οὐδ' ἐνθυμεῖ, διότι κτλ. ΙΗ', α'· καὶ μηδεὶς ὑμῶν θαυμάσῃ, διότι πολλῶν κτλ. Ἐπιστολ. Β', κβ'· πρὸς δ' ἐμέ, διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν κτλ.

γ') ΙϚ', θ' τὸ Οὐρβιναῖον ἀντίγρ. ἔχει· εἰς τοσοῦθ' ὕβρεως ἦλθον· ὀρθῶς δὲ Βησέληρος τὴν προτέραν γραφὴν προείλετο· εἰς τοσοῦτον ὕβρεως ἦλθον.

δ') Δ', ϟγ'. ΙΕ', ρξη'.

Οὐ μὴν ἀλλὰ τῇ συντάξει ταύτῃ οὐκ ὀλίγον ἂν διεξαιρεθῆναι τῆς δεινότητος
ἡγεῖται Δημήτριος ὁ Ἀλεξανδρεύς [α']. ἀλλ' οὖν ἑτέρως ἐφρόνει περὶ τῶν τοιούτων
Ἰσοκράτης.

ΙΖ' Ἄλλο δὲ τεκμήριον, ᾧ χρώμενος ἄν τις ἐπιδείξειε σαφῶς, ὅτι Ἰσοκράτης τὴν συγ-
κρουσιν τῶν φωνηέντων ἔφυγε, παρέχονται πολλαὶ μαρτυρίαι ἀξιοπίστων παλαιῶν συγ-
γραφέων βεβαίως τοῦτο δυσχυριζομένων. τούτων οὖν τῶν μαρτυριῶν ἤδη τὰς ἀξιο-
λογωτάτας παραθώμεθα. Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ συνθέσεως ὀνομάτων [β']
εἰπών, ὅτι Ἰσοκράτη τὸν ῥήτορα μάλιστα πάντων οἴεται τῶν πεζῇ τῇ λέξει χρησαμένων
ἀκριβοῦν τὴν ἁρμονίαν, περὶ ἧς διαλέγεται, ὡς παράδειγμα τῆς ἁρμονίας ταύτης παρα-
τίθεται πλείω [γ'] ἐκ τοῦ Ἀρεοπαγιτικοῦ καὶ τῆς ἁρμονίας τῆς λέξεως αἴτια εἶναί φησιν
οὐκ ἄλλα τινὰ ἢ τὰ ὑπ' αὐτοῦ προειρημένα περὶ τῆς ἀγωγῆς ταύτης τῶν λόγων.
φωνηέντων μὲν γάρ, φησί, ἀντιτυπίαν οὐκ ἄν τις οὐδεμίαν εὕροι ἐν
γοῦν οἷς παρεθέμην ἀριθμοῖς, οἴομαι δ' οὐδ' ἐν ὅλῳ τῷ λόγῳ, πλὴν εἴ
ΙΗ' τί με διαλέληθεν. Ἐκ τούτων οὖν φανερόν, ὅτι Διονύσιος ἐν τῷ Ἀρεοπαγιτικῷ
οὐδεμίαν σύγκρουσιν φωνηέντων ηὗρεν, ὅπερ ἐπιδείκνυσιν ἢ οὐδεμίαν ὅλως ἐν αὐτῷ
ἐνοῦσαν ἢ πάνυ ὀλίγας ὥστε διαλεληθέναι ἄνδρα ἀκριβῶς τοῖς τοιούτοις προσέχοντα
τὸν νοῦν. τοῦτο γοῦν δῆλόν ἐστιν, ὅτι Διονύσιος οὐδαμῶς ἂν τὰ τοιαῦτα ἔγραψεν, εἰ
πλεονάκις καὶ μὴ σπανιώτατα — τοῦτ' ἔστι τότε μόνον, ὅτε παντάπασιν ἀμήχανόν
ἐστιν ἐκφυγεῖν τὴν τῶν φωνηέντων σύγκρουσιν, ὡς ἔμπροσθεν ἔλεγον [δ'] — φωνῆεν φω-
νήεντι ἐν τῷ λόγῳ συνέπιπτεν. ὅτι δὲ ταὐτὸ καὶ περὶ τῶν ἄλλων ἐπιδεικτικῶν λόγων
Ἰσοκράτους λεκτέον ἐστίν, οὐ μόνον ἐξ ὧν Ἰσοκράτης περὶ ἑαυτοῦ λέγει δῆλον, ἀλλὰ καὶ
Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἄλλοθι [ε'] καθ' ὅλου λέγει περὶ Ἰσοκράτους· τῶν τε γὰρ
φωνηέντων τὰς παραλλήλους θέσεις, ὡς λυούσας τὰς ἁρμονίας τῶν
ἤχων, καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας παραιτεῖται. καὶ
ἄλλοθι ἐν τῷ περὶ τῆς Δημοσθένους δεινότητος [ϛ']· δι' εὐλαβείας, φησί, λαμβάνει
τὸ συγκροῦσαι τὰ φωνήεντα τῶν γραμμάτων.

ΙΘ' Ἐκ πάντων οὖν, οἶμαι, τούτων, ἃ παρεθέμην ἐκ Διονυσίου, φανερόν, ὅτι οὗτος
ὁ κριτικὸς σπανιώτατα φωνῆεν φωνήεντι συνεμπῖπτον ἐν τοῖς Ἰσοκράτους λόγοις ηὗρεν.
ἔχομεν δὲ καὶ ἄλλων μαρτυρίας περὶ τοῦ αὐτοῦ πράγματος. Ἑρμογένης μὲν γὰρ ἐν
τῷ περὶ ἰδεῶν [ζ']· Κῶλα δὲ κεκαλλωπισμένα φύσει μέν, φησί, τὰ μετρίως μα-
κρότερα, εἰ τῇ συνθήκῃ μὴ διεστήκοι μηδ' εἴη σύγκρουσίς τις ἐν αὐτοῖς
φωνηέντων, ἀλλὰ συνέχοιτο πάντοθεν τοῖς συμφώνοις, οἷά ἐστι καὶ
τὰ Ἰσοκράτους, οὗ γε οὐ μόνον τὰ κῶλα συνέχεται τοῖς συμφώνοις,
ἀλλὰ καὶ πᾶς ὁ λόγος· τοσοῦτον αὐτῷ τῆς εὐφωνίας καὶ τοῦ κάλλους
μεμέληκεν. Δημήτριος δ' ὁ Ἀλεξανδρεύς, ὅς, ὥσπερ Οὐάλσιος ἐπέδειξεν [η'], ἐν πολ-
Κ' λοῖς ἐναντιοῦται Διονυσίῳ, τοῦτ' αὐτῷ ὁμολογεῖ λέγων [θ']· Περὶ συγκρούσεως φω-
νηέντων ὑπέλαβον ἄλλοι ἄλλως. Ἰσοκράτης μὲν γὰρ ἐφυλάττετο συμ-

---

α') ἐν τῇ περὶ ἑρμηνείας σϡθ' παραγρ. (Τεχνογρ. Ἑλλην. ἐκδ. Σπεγγελ. τόμ. γ' σελ. τκϛ').
β') κεφ. κγ'. — σελίδ. κζ' τῆς Συλπυργίου ἐκδόσεως.
γ') τὰς προτέρας πέντε παραγραφὰς τῶν ἡμετέρων ἐκδόσεων.
δ') παραγρ. ΙΓ'. σελ. δ'.
ε') ἐν Ἰσοκρ. κεφ. β'.
ϛ') κεφ. δ'.
ζ') τόμ. α'. Τεχνογρ. Ἑλλ. ἐκδ. Οὐαλσ. τόμ. γ' σελ. σπθ'. Σπεγγ. τόμ. γ'. σελ. τλη'.
η') Τεχνογρ. Ἑλλ. τόμ. θ'. σελ. η'.
θ') ἐν τῇ περὶ ἑρμηνείας ξη' παραγρ. Τεχνογρ. Ἑλλ. ἐκδ. Σπεγγ. τόμ. γ'. σελ. σοζ'.

πλήσσειν αὐτὰ καὶ οἱ ἀπ' αὐτοῦ. Δύο δὲ τῶν ὕστερον γραμματικῶν, Μάξιμος ὁ Πλανούδης καὶ Ἰωάννης ὁ Σικελιώτης ταὐτὸ δισχυρίζονται περὶ Ἰσοκράτους καὶ ταῦτ' οὐκ ἐκ Διονυσίου μεταγράψαντες, ἀλλ' ἐκ τῆς Ἰσοκράτους τέχνης, ἣ τότε ἔτι περιῆν, λαβόντες· φησὶν οὖν ὁ Μάξιμος[α']· Ἐκ τῆς Ἰσοκράτους τέχνης διδασκόμεθα, ποῖαι τῶν λέξεων λέγονται καθαραί· τοσοῦτον γὰρ πεφρόντικε τῆς καθαρότητος τῶν λέξεων ὁ ἀνὴρ, ὡς καὶ ἐν τῇ οἰκείᾳ τέχνῃ τοιάδε παραγγέλλειν περὶ λέξεως· δεῖ δὲ τῇ μὲν λέξει τὰ φωνήεντα μὴ συνεμπίπτειν, χωλὸν γὰρ τὸ τοιόνδε.

Καὶ Λογγῖνος ἐν τῷ περὶ εὑρέσεως[β']. οὐκ ἀχρεῖον, φησὶν, οὐδὲ τῶν Ἰσο- ΚΑ'
κράτους παραγγελμάτων ἐντρέπεσθαι, μὴ τραχύνειν τὸν λόγον τῇ παραθέσει καὶ συμπλοκῇ τῶν καλουμένων φωνηέντων, ἃ τὴν ἀκρόασιν οὐκ ἀνέχεται καὶ τὸν λόγον οὐχ ὁμοίως συνυφαίνειν ἔοικεν, οὔτε λείως τε καὶ ἀπταίστως εἰς τὴν ἀκοὴν παρίησιν, ἀλλ' ἐπιλαμβάνεται τοῦ πνεύμονος καὶ ἐπίσχει τὸ πνεῦμα τῆς φωνῆς. καὶ δὴ καὶ Πλούταρχος ἐν τῷ· Πότερον Ἀθηναῖοι κατὰ πόλεμον ἢ κατὰ σοφίαν ἐνδοξότεροι; διηγεῖται Ἰσοκράτη φοβηθῆναι φωνῆεν φωνήεντι συγκροῦσαι. Ὅτι δὲ καὶ Ῥωμαίων τοὺς περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδάζοντας αὕτη ἡ Ἰσοκράτους ἰδιότης καὶ συνήθεια οὐ διέλαθε, Κικέρων δείκνυσιν, ὃς ἐν τῷ συγγράμματι, ὃ ἐπιγράφεται Ῥήτωρ[γ'], περὶ τῆς συμπλοκῆς τῶν φωνηέντων διαλεγόμενος· Εἰσὶ δὲ, φησὶν, οἳ τοῦτο Θεοπόμπῳ ἐπιτιμῶσιν, ὅτι οὕτω σφόδρα ἔφευγε τὴν σύγκρουσιν τῶν φωνηέντων, εἰ καὶ ταὐτὸ ἐποίησεν ὁ διδάσκαλος αὐτοῦ, Ἰσοκράτης.

Ἐκ πασῶν οὖν τῶν μαρτυριῶν τούτων, ἃς ῥᾴδιον ἂν εἴη ἔτι αὐξῆσαι, τοῦτο ΚΒ'
μὲν φανερὸν εἶναι οἴομαι, ὅπερ ἤδη πολλάκις εἴρηκα, ὅτι Ἰσοκράτης μόνον οὐχὶ πανταχοῦ ἔφυγε τὴν συμπλοκὴν τῶν φωνηέντων καὶ ἐν τούτῳ συμφωνῶ παντάπασι Βησελήρῳ, ὃς πρῶτος ταύτην τὴν ἰδιότητα τοῦ ῥήτορος ἀκριβῶς ἐξήτασε καὶ ἐπέδειξεν. οὐκοῦν σφάλλεσθαι νομίζω τοὺς τἀναντία γιγνώσκοντας καὶ δὴ καὶ τούτους, οἳ καθάπερ Σάνδυς, Διονύσιον οἴονται τὰ ἄνω παρατεθέντα περὶ Ἰσοκράτους γράψαι οὐκ ἀκριβῶς ἐξετάζοντα παραγραφάς τινας τῶν λόγων ὁμοίας αἷς παρατίθεται ἐκ τοῦ Ἀρεοπαγιτικοῦ, ὥστε ἐξ ὧν δισχυρίζεται οὐδὲν ἂν σαφὲς ἐξείη συλλογίσασθαι[δ']. ὁ δ' αὐτὸς ΚΓ'
Σάνδυς οὐκ ἂν ἔξαρνος γένοιτο μὴ οὐκ Ἰσοκράτους εἶναι τὸ ὑπὸ τῶν τεχνογράφων ὡς Ἰσοκράτειον παραδεδομένον παράγγελμα, καθ' ὃ οὐ δεῖ τὰ φωνήεντα συμπίπτειν. ἀλλ' οὖν τοπάζει Ἰσοκράτη τοῖς ἑαυτοῦ παραγγέλμασιν οὐκ ἐμμεῖναι· ὅπερ ἐπιδεῖξαι πειρᾶται ὧδε· ἐν τοῖς Ἰσοκρατείοις παραγγέλμασι, φησὶ, καὶ τοῦτο παραδέδοται, δεῖν τὸν λόγον μὴ ἔμμετρον εἶναι[ε']. Ἐπειδήπερ οὖν, φησὶν ὁ Σάνδυς, ἐν τῇ τοῦ Πανηγυρικοῦ ρο' παραγραφῇ φαίνεται Ἰσοκράτης τέλειον τρίμετρον ἰαμβικὸν γράψας[ς'], δῆλον, ὅτι οἷς ἔθηκε νόμοις αὐτὸς οὐκ ἐνέμεινεν. οὐκοῦν, προστίθησιν, εἰ Ἰσοκράτης τὸν ἑαυτοῦ

α') ἐκδ. Οὐαλσ. ἐν τῇ τῶν Τεχνογράφων συλλογῇ τόμ. ε'. σελ. νξθ'. παντάπασι δ' ὅμοια τούτοις γράφει Ἰωάννης ὁ Σικελιώτης, τόμ. ς'. σελ. ρνς'.

β') Τεχνογρ. Οὐαλσ. τόμ. θ'. σελ. φξ'.

γ') παραγρ. ρνα'.

δ') Ιδὲ ἃ προοιμιάζεται Σάνδυς ἐν τῇ ἑαυτοῦ ἐκδόσει τοῦ τε πρὸς Δημόνικον λόγου καὶ τοῦ Πανηγυρικοῦ, σελ. λε' καὶ λς'.

ε') Μάξιμος ὁ Πλανούδης (ἐν τῇ ὑπ' Οὐαλσίου ἐκδοθείσῃ συλλογῇ τῶν τεχνογράφων τόμ. ε'. σελ. νξθ'. στίχ. ιζ')· ὅλος δὲ ὁ λόγος μὴ λόγος ἔστω, ξηρὸν γάρ, μηδὲ ἔμμετρος, καταφανὲς γάρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ μάλιστα. Ταὐτὰ γράφει Ἰωάννης ὁ Σικελιώτης τόμ. ς'. σελ. ρνζ'.

ς') ἐχρῆν γὰρ αὐτοὺς εἴπερ ἦσαν ἄξιοι. Ἰδὲ Σάνδ. σελ. ρμθ'.

νόμον παραβὰς ἰαμβικὸν στίχον συμπλέξαι ἠδυνήθη τῷ λόγῳ, ἠδυνήθη καὶ τὰ περὶ τῆς συγκρούσεως τῶν φωνηέντων ὑπ' αὐτοῦ παρηγγελμένα αὐτὸς λῦσαι καὶ συγκροῦσαι
ΚΔ' τὰ φωνήεντα. οὕτω μὲν οὖν Σάνδυς συμβῆναι οἴεται φωνηέντων συγκρούσεις εὑρίσκεσθαι ἐν τοῖς Ἰσοκρατείοις λόγοις· ἀλλ' ὅτι σφάλλεται, ῥᾳδίως ἂν οἶμαι φανερὸν ποιῆσαι. τὸν γὰρ ἰαμβικὸν στίχον, ὃν ἐξηῦρε Σάνδυς ἐν τῷ Πανηγυρικῷ, διέλαθεν Ἰσοκράτης ἑαυτὸν ἐμπλέξας τῷ λόγῳ, καὶ ὅτι ταῦτα ῥᾷστα συμβαίνει γενέσθαι, συγχωρεῖ καὶ Κικέρων α') καὶ πρὸ αὐτοῦ Ἀριστοτέλης, ὃς τὸν ἴαμβον τὴν λέξιν τὴν τῶν πολλῶν εἶναι
ΚΕ' γράφει β') καὶ πάντας μάλιστα ἰαμβεῖα φθέγγεσθαι. ἔστιν οὖν τοῦτο παντάπασιν ἀνόμοιον τῇ συγκρούσει τῶν φωνηέντων· ἔμμετρον μὲν γάρ τι ἐμπλέξας λανθάνει ἑαυτὸν ὁ συγγράψας· συμπλήξας δὲ τὰ φωνήεντα ὁ συγγραφεὺς οὐ λανθάνει ἑαυτὸν, ἐὰν προσέχῃ τὸν νοῦν. καὶ εἰ ἅπαξ ἢ δὶς γ') ἐν λόγοις τοσούτοις καὶ τηλικοῦτο μῆκος ἔχουσιν Ἰσοκράτης ἔλαθεν ἑαυτὸν ἔμμετρόν τι συμμίξας τῇ λέξει, τί τοῦτο θαυμαστόν; πολὺ γὰρ ἂν θαυμαστότερον ἦν, εἰ τοῦτο μήποτε ἐγένετο. οὐδὲ θαυμαστότερον τοῦτ' ἂν ἦν ἢ εἰ ἅπαξ ἢ δὶς φωνήεντα συνέπληξεν, ὅπερ οὔτ' ἐγὼ οὔτ' ἄλλος οὐδεὶς οὐδέποτ' ἐξηρνήθη. σφάλλεται δὲ μόνον Σάνδυς οἰόμενος Ἰσοκράτη οὕτως ὀλιγωρῆσαι τοῦ νόμου τοῦ ὑπ' αὐτοῦ τεθέντος, ὥστε ἐν λόγῳ δυοῖν καὶ πεντήκοντα παραγραφῶν τὸ μῆκος, οἷός ἐστιν ὁ πρὸς Δημόνικον δεκάκις ἢ εἰκοσάκις φαίνεσθαι φωνῆεν φωνήεντι συμπλήξαντα.

ΚϚ' Καὶ μηδεὶς οἰέσθω τὴν Σάνδυος γνώμην ἐπικυροῦσθαι τῷ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις, ἐν οἷς ἐσώθησαν οἱ Ἰσοκράτους λόγοι, συγκρούσεις φωνηέντων ἐνίοτε εὑρίσκεσθαι. τοῦτο γὰρ οὐκ ἄν τις θαυμάσειε· τοὐναντίον γὰρ θαυμαστότερον ἂν ἦν, εἰ ἐν ἀντιγράφοις, ἐν οἷς τοσαῦτα ἄλλα ἡμάρτηται ὑπὸ τῶν μεταγραφόντων μόνον συγκρούσει φωνηέντων μηδὲν διεφθάρη· τὰ γὰρ τοιαῦτα ἁμαρτεῖν τοσούτῳ ῥᾷον ἦν ἀνδρὶ μὴ παντάπασι προσέχοντι τὸν νοῦν, ὅσῳ εὐτελέστερα ἐδόκει εἶναι. πολλάκις γὰρ μικρὰ μεταβολὴ σύγκρουσιν φωνηέντων ἐργάζεται, οἷον ὅταν τις γράφῃ· οἱ διὰ φαυλότητα οὐχ οἷοί τ' ἦσαν ζῆν ἀνθ' ὧν ἔγραψεν Ἰσοκράτης· οἳ διὰ φαυλότητα ζῆν οὐχ οἷοί τ' ἦσαν. δ') ἢ ὅταν τις γράφῃ· σὲ ἐπιβουλεύειν ἀντὶ τοῦ ἐπιβουλεύειν σὲ, ἐν τῷ πρὸς Φίλιππον λόγῳ, παραγρ. οε'. ἢ πείθειν σε εἰ, ἀντὶ τοῦ
ΚΖ' σὲ πείθειν εἰ, ἐν τῷ αὐτῷ λόγῳ, παραγρ. ρλγ'. ἐκ δὲ τῶν τοιούτων καὶ παραπλησίων παραδειγμάτων φανερὸν, ὅτι οἱ τοὺς Ἰσοκράτους λόγους μεταγράφοντες αἴτιοι γεγένηνται τῶν πλείστων συγκρούσεων φωνηέντων· ἐπεὶ γὰρ οὐκ ἀεὶ, ὡς εἰκὸς, ἀκριβῶς προσεῖχον τὸν νοῦν τοῖς τοιούτοις, ἔλαθον αὑτοὺς μεταβάλλοντες τὴν ῥημάτων θέσιν οὕτω τεχνικῶς ἔχουσαν, ᾗ συχνῶς χρῆται Ἰσοκράτης ἕνεκα τοῦ ἐκφεύγειν τὴν τῶν φωνηέντων συμπλοκὴν, ὡς ἔμπροσθεν ἀπέδειξα παραγρ. ιε'. σελ. ε'. Πολλὰ δ' ἂν δυνηθείην, εἰ ἀναγκαῖον εἶναι νομίσαιμι, παρατίθεσθαι παραδείγματα, ἐν οἷς Βησέληρος συγκρούσεις φωνηέντων μετρίᾳ μεταβολῇ τῆς θέσεως τῶν ῥημάτων καὶ ταῦτα πολλάκις συμβουλευόντων τῶν κρατίστων ἀντιγράφων ἐκ τῶν Ἰσοκράτους λόγων ἐξεῖλεν.

α') Ῥήτορ. παραγρ. ρπθ'· ἔμμετρα ἐν τῷ λόγῳ λανθάνομεν ἡμᾶς αὐτοὺς λέγοντες, ὃ σφόδρα πλημμελές ἐστιν· ἀλλ' οὐ προσέχομεν τὸν νοῦν οὐδ' αἰσθανόμεθα τὰ ἔμμετρα αὐτοί· τοὺς δ' ἰαμβικοὺς τριμέτρους καὶ τοὺς Ἱππωνακτείους μόλις ἂν ἐκφύγοιμεν κτλ.

β') Τέχνης ῥητορικῆς βιβλ. γ'. κεφ. η'.

γ') εὑρίσκομεν γὰρ καὶ τρίμετρον ἰαμβικὸν ἐν τῇ ἀρχῇ τοῦ Παναθηναϊκοῦ· Νεώτερος μὲν ὢν προῃρούμην γράφειν. καὶ Κικέρων (Ῥήτορ. παραγρ. ρϟ') φησὶν Ἱερώνυμόν τινα συλλέξαι ἐκ πολλῶν Ἰσοκράτους συγγραμμάτων τριάκοντα ἴσως στίχους, ὧν οἱ μὲν πλεῖστοι ἦσαν τρίμετροι ἰαμβικοὶ, ἔνιοι δὲ καὶ ἀνάπαιστοι.

δ') Πανηγυρ. παραγρ. ρμϛ'. οὕτω γὰρ δοκεῖ μοι τὸ ἁμάρτημα ἐξαιρετέον εἶναι. οὐ γὰρ ἂν προσθείμην τῇ Βησελήρου γνώμῃ, ὃς οἴεται γραπτέον εἶναι· φαυλότητας ἀντὶ τοῦ φαυλότητα.

Καὶ μὴν τοῦτο καθ' ὅλου καταφανὲς, ὅτι ἐν τοῖς τῶν παλαιῶν συγγράμμασιν ΚΗ'
πολλὰ διέφθαρται ὑπὸ τῶν μεταγραφόντων· ἐνίοτε δὲ καὶ παραλελεῖφθαι συμβαίνει
ὑπ' αὐτῶν ὀνόματά τε καὶ ῥήματα πλείω, ὥστ' εἰ καὶ πολλὰ τῶν οὕτω διεφθαρμένων
ἢ κεκολουσμένων οἱ ἐπιφανέστατοι κριτικοὶ ἀγχίνως ἐπηνωρθώσαντο, οὐκ ὀλίγα ἔτι
ὑπόλοιπά ἐστιν, ἃ οὐδείς πω διώρθωσε, πολλὰ δὲ διεφθαρμένα καὶ παντάπασιν ἀδύ-
νατον ἐπανορθώσασθαι. Καὶ ὅσον πρὸς Ἰσοκράτη, ὅτι τοῦθ' οὕτως ἔχει, οὐ μόνον ἐκ ΚΘ'
τῶν παλαιῶν ἀντιγράφων καταφανές ἐστιν, ἃ πολλάκις ἀλλήλοις οὐ συμφωνεῖ ἢ φανε-
ρῶς ἡμαρτημένας γραφὰς παρέχεται, ἀλλὰ καὶ ἐκ τοῦ μὴ παντάπασιν συμφωνεῖν τὰ ἐν
τῷ περὶ τῆς Ἀντιδόσεως ἐκ τεττάρων ἄλλων λόγων παρατεθέντα μέρη αὐτοῖς τοῖς
πρότερον γεγραμμένοις τούτοις, οἷα ἐν τοῖς παλαιοῖς ἀντιγράφοις σώζεται. Ἄτοπον
γὰρ ἂν ἦν ὑπολαβεῖν τῶν διαφορῶν τούτων, αἳ πολλάκις ἐξ ὀλίγων στοιχείων ἢ δια-
φόρων τῆς λέξεως σχημάτων σύγκεινται, Ἰσοκράτη αὐτὸν αἴτιον εἶναι, ὥσπερ ἂν εἰ
αὐτὸς μὴ ἠδυνήθη ἀκριβῶς τὰ ἑαυτοῦ μεταγράψαι.

Πρὸς δὲ τούτοις ὅμοιαι διαφοραὶ εὑρίσκονται καὶ ἐν οἷς Διονύσιος ὁ Ἁλικαρ- Λ'
νασσεὺς ἐξ Ἰσοκράτους παρατίθεται. καὶ καθ' ὅλου μὲν τὰ ἀντίγραφα, ἐν οἷς τὰ
Διονυσίου συγγράμματα ἡμῖν ἐσώθη, πολὺ καταδεέστερά ἐστι τοῦ Οὐρβιναίου ἀντι-
γράφου· ἐνίοτε δ' ἡ ἀληθινὴ γραφὴ ἢ ταύτης ἴχνος φανερὸν εὑρίσκεται ἐν τοῖς Διονυ-
σίου ἀντιγράφοις.[α'] πειράσομαι δὲ τοῦτο, ὡς ἂν δύνωμαι συντομώτατα, δηλῶσαι
παραδείγματι χρώμενος μέρει τινὶ ὧν Διονύσιος ἐν τῷ περὶ Ἰσοκράτους συγγράμματι
παρατίθεται ἐκ τοῦ Περὶ εἰρήνης λόγου. τὰς οὖν διαφόρους γραφὰς τῶν ὀκτὼ προτέρων
παραγραφῶν περιέχει ὁ πίναξ ὅδε.

ΤΑ ΜΕΝ ΙΣΟΚΡΑΤΟΥΣ ΑΝΤΙΓΡΑΦΑ ΕΧΕΙ·	ΤΑ ΔΕ ΔΙΟΝΥΣΙΟΥ ΑΝΤΙΓΡΑΦΑ ΕΧΕΙ·
παραγρ. α'.	
α') περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύσειν.	α') περὶ ὧν αὐτοὶ μέλλουσι συμβουλεύειν.
β') καὶ γ') οὐ μὴν ἀλλ' εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε (ἡ δὲ κοινὴ ἀνάγνωσίς ἐστιν· ἥρμοζε) τοιαῦτα προειπεῖν.	β') καὶ γ') οὐ μὴν ἀλλ' εἰ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν.
δ') περὶ τῶν νυνὶ (Οὐρβ. νῦν) παρόντων (κοινῶς προστίθεται· πραγμάτων).	δ') περὶ τῶν νυνὶ παρόντων.
παραγρ. β'.	
ε') καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους.	ε') καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσαμένους.
παραγρ. γ'.	
ϛ') οὐδὲ τὴν φωνὴν ἀνεχομένους.	ϛ') οὐδὲ τῆς φωνῆς ἀνεχομένους.
ζ') πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις. ὃ καὶ δικαίως ἄν τις κτλ.	ζ') πλὴν τοὺς συναγορεύοντας ταῖς ἐπιθυμίαις ὑμῶν, οἷς καὶ δικαίως ἄν τις κτλ.

α') Οἷον Δ', ϛζ', ὅπου ἐν μὲν τοῖς Ἰσοκράτους ἀντιγράφοις ἔστι· Καὶ οὐδέ· τὰ δὲ Διονυσίου ἔχει· Καὶ μηδὲ, ὃ καίπερ σεσολοικισμένον ἀποδέχεται Βησέληρος· ἐγὼ δ' ἡγοῦμαι τὴν ἀληθῆ γραφὴν εἶναι· Καὶ μὴν οὐδέ· τοῦτο γὰρ λανθάνει ἐν τῇ διεφθαρμένῃ Διονυσίου γραφῇ· Καὶ μηδέ.

παραγρ. δ'.

ΛΑ' η') ταύτην ἔχοντας τὴν τέχνην (οὕτω τὸ Οὐρβιναῖον ἀντίγραφον· κοινῶς δ' ἀναγιγνώσκεται γνώμην).	η') ταύτην ἔχοντας τὴν τέχνην.

παραγρ. ε'.

ϑ') πᾶσι γὰρ ἦν φανερὸν (κοινῶς· ἅπασι γάρ ἐστι φανερόν).	ϑ') ἅπασι γὰρ ἦν φανερόν.

παραγρ. ϛ'.

ι') ὡς καὶ τὰς κτήσεις.	ι') ὡς τὰς κτήσεις.
ια') τοιοῦτον ὑποτείνουσιν (κοινῶς· τοιοῦτο προτείνουσιν).	ια') τοιοῦτον ὑποτείνουσιν.
ιβ') στέργειν τοῖς παροῦσιν.	ιβ') στέργειν τὸ ἴσον.

παραγρ. ζ'.

ιγ') περὶ τῶν ὑπαρχόντων (οὕτω τὸ Οὐρβιναῖον ἀντίγρ. κοινῶς καὶ περί).	ιγ') περὶ τῶν ὑπαρχόντων.
ιδ') ὅπερ ἄξιον.	ιδ') διόπερ ἄξιον.

παραγρ. η'.

ιε') ἀλλὰ τῶν ϑεῶν (οὕτω τὸ Οὐρβιναῖον· κοινῶς· ἀλλ' ὡς τῶν ϑεῶν).	ιε') ἀλλὰ τῶν ϑεῶν.
ιϛ') ὅτι κατορϑώσομεν (κοινῶς· ὅτι καὶ κατορϑώσομεν).	ιϛ') ὅτι κατορϑώσομεν.
ιζ') καὶ ῥᾳδίως ἐπικρατήσομεν τῶν ἐχϑρῶν (κοινῶς· καὶ ῥᾳδίως τῶν ἐχϑρῶν ἐπικρατήσομεν).	ιζ') καὶ ῥᾳδίως κρατήσομεν τῶν ἐχϑρῶν.
ιη') ὅ τι ἂν τύχῃ δὲ γενησόμενον.	ιη') ὅ τι δ' ἂν τύχῃ γενησόμενον.

ΛΒ' Ἀλλὰ ταῦτα μὲν ἱκανὰ ἔσται ἐπιδεῖξαι ὅπερ ἠβουλήϑην. γιγνώσκομεν γὰρ ἐκ τῶν παρακειμένων γραφῶν, ὅτι αἱ ἐν τῷ Οὐρβιναίῳ ἀντιγράφῳ εὑρισκόμεναι ἐν πᾶσι τοῖς ὀκτωκαίδεκα παραδείγμασι κρείττους ἢ ὀρϑότεραί εἰσι τῶν ἐν τοῖς ἄλλοις ἀντιγράφοις εὑρισκομένων. αἱ δὲ τοῦ Οὐρβιναίου γραφαὶ ἐν δέκα παραδείγμασι (α'. β'. ε'. ϛ'. ζ'. ι'. ιβ'. ιδ'. ιζ'. ιη') κρείττους εἰσὶ τῶν ἐν τοῖς Διονυσίου ἀντιγράφοις εὑρισκομένων· ἐν δ' ὀκτὼ παραδείγμασιν (γ'. δ'. η'. ϑ'. ια'. ιγ'. ιε'. ιϛ') αἱ τοῦ Οὐρβιναίου γραφαὶ συμφωνοῦσι ταῖς τῶν Διονυσίου ἀντιγράφων· τὰ δὲ Διονυσίου ἀντίγραφα ἔχει δέκα γραφὰς ἡμαρτημένας, τὰ δὲ καταδεέστερα Ἰσοκράτους ἀντίγραφα ἐννέα ἡμαρτημένας γραφὰς (γ'. δ'. η'. ϑ'. ια'. ιγ'. ιε'. ιϛ'. ιζ') ἐν ταῖς ὀκτωκαίδεκα, ἃς ἐξηριϑμήσαμεν. Ἐκ τούτων οὖν πάλιν καταφανές ἐστιν, ὅτι εἰ τὸ Οὐρβιναῖον ἀντίγραφον μὴ εἴχομεν, ὀκτάκις μὲν ἡ γραφὴ ἂν ἦν διορϑωτέα ἐκ τῶν Διονυσίου ἀντιγράφων· ἐννάκις δὲ ἡ μὲν κοινὴ τῶν Ἰσοκράτους ἀντιγράφων γραφὴ ἀποδεκτέα, ἡ δὲ τῶν Διονυσίου ἀντιγράφων γραφὴ τοσαυτάκις ἀποδοκιμαστέα· μία δὲ γραφὴ ἐξ εἰκασίας διορϑωτέα ἂν ἦν (παραγρ. ιη' ὅ τι ἂν τύχῃ δὲ).

ΛΓ' Τῶν δὲ διαφόρων γραφῶν ὧν ἐξηρίϑμησα, δύο μόνον ἦσαν, ἐν αἷς καὶ τὸ περὶ τὴν σύγκρουσιν τῶν φωνηέντων παράγγελμα ἀναγκαῖον ἦν πρὸς τὸ κρῖναι, ποτέρα γραφὴ ἡμάρτηται· ἐν γὰρ τῷ δωδεκάτῳ παραδείγματι ἡ ἐν τοῖς Διονυσίου ἀντιγράφοις εὑρισκομένη γραφὴ ἡμαρτημένη ἐφάνη, διότι ἐν τῷ στέργειν τὸ ἴσον ἐναντίως τῇ Ἰσοκράτους συνηϑείᾳ τὰ φωνήεντα συγκρούεται. καὶ αὕτη ἡ σύγκρουσις μόνη σαφὲς

σημεῖον τοῦ φανερῶς ἡμαρτῆσθαι τὴν γραφήν· ὅπερ γὰρ Βησέληρος φάσκει[α']), Ἰσοκράτη οὔποτε συντάξαι στέργειν αἰτιατικῇ, πλὴν ἅπαξ τῷ οὐδετέρῳ τῆς ἀντωνυμίας, ψευδὲς ὂν φαίνεται, ἐπειδὴ Ἰσοκράτης ἐν τῇ νς' παραγραφῇ τοῦ δεκάτου λόγου (ὃς ἐπιγράφεται Ἑλένη) τὸ στέργειν αἰτιατικῇ συνέταξε γράφων· καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσι φθονοῦμεν, ἢν μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ' ἑκάστην τὴν ἡμέραν προσαγάγωνται καὶ στέργειν σφᾶς αὐτοὺς ἀναγκάσωσιν. καὶ ἐν τῇ ρκζ' παραγρ. τοῦ πέμπτου λόγου· προσήκει .... ἐκείνην τὴν πόλιν στέργειν. ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ παραδείγματι τοὐναντίον ἐν τῇ Διονυ- ΛΔ'
σίου γραφῇ φωνήεντα οὐ συμπλήττεται ἀλλήλοις, ἀλλ' ἐπειδὴ φαίνεται τὴν τοῦ ὅ τι ἂν σύγκρουσιν Ἰσοκράτης, ὡς ἐξ ἄλλων παραδειγμάτων καταφανές, οὐκ ἀποδοκιμάσας, ἡ τῶν Ἰσοκράτους ἀντιγράφων γραφὴ ἀληθεστέρα κριτέα ἐστίν.

Τοῖς οὖν παραδείγμασιν, οἷς ἐχρησάμην, ἱκανῶς οἶμαι ἐπιδεῖξαι, ὡς παντοίας διαφθορὰς καὶ μεταβολὰς ἐν τοῖς Ἰσοκράτους συγγράμμασιν οἱ μεταγράφοντες ἐποιήσαντο, ὥστε ἔμοιγε Βησέληρος ὀρθότατα τοῦτο διορίσαι δοκεῖ· „Ὅπου ἂν ἐν τοῖς Ἰσοκράτους συγγράμμασι σύγκρουσις τῶν φωνηέντων εὑρίσκηται, ἡ γραφὴ ἡμάρτηται“[β']). τοῦτο μόνον οὐχ ὁμολογῶ Βησελήρῳ, ὅπερ προστίθησιν· „ἢ τὰ γεγραμμένα οὐκ ἔστιν Ἰσοκράτους.“ ἐν τούτῳ γὰρ σφαλῆναί μοι δοκεῖ σφόδρα, ὅτι τούτῳ τῷ τεκμηρίῳ χρώμενος καὶ πλείους λόγους, οἳ ἐν τοῖς Ἰσοκρατείοις φέρονται, ἐξηρνήθη μὴ εἶναι τοῦ ῥήτορος τούτου· ἵνα γὰρ τό γε νῦν περὶ τῶν δικανικῶν σιωπῶ, ὁ πρὸς Δημόνικον λόγος, περὶ οὗ τὴν σκέψιν ποιεῖσθαι προειλόμην, διὰ τὰς ἐν αὐτῷ νῦν εὑρισκομένας συγκρούσεις τῶν φωνηέντων οὐδαμῶς ἐστιν ἀποδοκιμαστέος.

Οὐδὲ Βλάσσιος, ὃς τἆλλα Βησελήρῳ ὁμολογεῖ νόθον εἶναι τὸν λόγον, τὸ ἐκ τῆς ΛΕ'
συγκρούσεως τῶν φωνηέντων τεκμήριον πρὸς τὸ ἐπιδεικνύναι αὐτὸν οὐκ ὄντα Ἰσοκράτους ἱκανὸν εἶναι ἡγεῖται[γ']). Ἀλλ' ὥρα ἤδη τὰς συγκρούσεις ταύτας ἀκριβέστερον ἐξετάσαι τε καὶ ἐπιδεῖξαι, ὡς αἱ μὲν οὐκ ἐναντιοῦνται τῇ Ἰσοκράτους συνηθείᾳ, αἱ δ' ἐξαιρετέαι εἰσὶν ὡς σημεῖον τοῦ τὴν γραφὴν ἡμαρτῆσθαι, ὅπου ἄν τις αὐταῖς ἐντύχῃ. εἰσὶ δ' αἵδε[δ'])· Λϛ'

α') ἐπανορθῶ. ὅσοι μέν, παραγρ. γ'.
β') χρησιμωτέρα δὲ εὐγενείας, παραγρ. ζ'.
γ') ἠγάπα, ἀλλ', παραγρ. θ'.
δ') τοὺς περὶ αὐτόν, παραγρ. ι'.
ε') καταριθμησαίμεθα. ἀλλά, παραγρ. ια'.
ϛ') ζῆν σε ὥσπερ, παραγρ. ια'.
ζ') διδόμενόν τι ἀγαθόν, παραγρ. ιη'.
η') τῷ δὲ λόγῳ εὐπροσήγορος, παραγρ. κ'.
θ') περὶ ἐκείνους, παραγρ. κδ'.
ι') μήτε ἄπειρος, παραγρ. κδ'.
ια') ὑπὸ οἴνου, παραγρ. λβ'.
ιβ') περὶ αὐτῶν, παραγρ. λγ'.
ιγ') τὰ δόξαντα. ἡγοῦ, παραγρ. λδ'.
ιδ') παρὰ δὲ ἡμῶν αὐτῶν, παραγρ. λδ'.
ιε') περὶ ὧν, παραγρ. λδ'.
ιϛ') περὶ ἀλλοτρίου, παραγρ. λδ'.
ιζ') τὰ ἑαυτοῦ, παραγρ. λε'.
ιη') τὰ ἐκείνων, παραγρ. λϛ'.
ιθ') καὶ αὐτός, παραγρ. λζ'.
κ') δύνασθαι, ἀνέχου, παραγρ. λη'.
κα') τὸ ἴσον, παραγρ. λη'.
κβ') ὠφελεῖ, ἡ δέ, παραγρ. λη'.
κγ') τῷ μὲν σώματι εἶναι, παραγρ. μ'.

α') Ἰανίου Χρονικ. φιλολογ. ἐκδοθ. ἔτει ,αωξ' ἤτοι τόμ. πβ'. σελ. ρκζ'.
β') Ἰσοκράτ. ἐκδ. Βησελ. προοιμ. σελ. α'.
γ') Περὶ τῶν Ἀττικῶν ῥητόρων, τόμ. β'. σελ. σνζ'.
δ') λέγω δὲ τὰς ἔτι εὑρισκομένας ἐν τῇ Βεκκήρου ἐκδόσει.

κδ') ὅ τι ἄν, παραγρ. μα'.
κε') περὶ ὧν, παραγρ. μα'.
κϛ') περὶ ὧν, παραγρ. μα'.
κζ') ἐνθυμοῦ δὲ ὅτι, παραγρ. μη'.
κη') παντὶ ἐλαττουμένους, παραγρ. μθ'.

ΛΖ' Εἰσὶ μὲν οὖν πᾶσαι αἱ φωνηέντων συγκρούσεις αὗται αἱ ἐν τῷ πρὸς Δημόνικον λόγῳ
τὸν ἀριθμὸν ὀκτὼ καὶ εἴκοσιν· ἐὰν δέ τις θαυμάσῃ, ὅτι τοσαῦταί εἰσιν, ἐνθυμείσθω,
ὡς ἐν τούτῳ τῷ ἀριθμῷ συμπεριειλημμέναι εἰσὶ καὶ αὗται, αἳ συνήθεις οὐ μόνον Ἰσο-
κράτει, ἀλλὰ καὶ τοῖς ποιηταῖς εἰσιν ἅτε οὐδὲν ἀλλόκοτον ἔχουσαι καὶ ἃς ἐκφυγεῖν ὀλίγου
δεῖν ἀδύνατόν ἐστιν. δεῖ δὲ καὶ λογίσασθαι, ὅτι ἐν τοῖς ἄλλοις λόγοις οὐκ ἐλάττους
ΛΗ' ἔνεισιν, ἐάν τις, ὥσπερ ἐν τῷ πρὸς Δημόνικον ἐποίησα, ἁπάσας συμπεριλάβῃ. κἂν τὸ
Εὐαγόρου ἐγκώμιον τῷ πρὸς Δημόνικον παραβάλωμεν, ἑπτὰ σελίσι καὶ τεταρτημορίῳ
μακρότερον ὂν τούτου εὑρήσομεν, καὶ γὰρ ὁ μὲν πρὸς Δημόνικον λόγος ἐν τῇ Βησελήρου
ἐκδόσει δώδεκα σελίδας περιέχει, τὸ δ' Εὐαγόρου ἐγκώμιον ἐννεακαίδεκα καὶ τεταρτη-
μόριον· εὑρίσκονται δὲ φωνηέντων συγκρούσεις ἐν αὐτῷ τετταράκοντα, ὧν αἱ μὲν πλεῖ-
σται ἐν τῇ περί προθέσει γιγνόμεναι οἰκεῖαι Ἰσοκράτει εἰσιν, ἔνιαι δὲ δυσχερέστεραι,
ὡς ἢ ὑφ' ὧν, παραγρ. ϛ', σῶμα ἕν, παραγρ. λ'. πλεῖστα ἀγαθά, παραγρ. νγ'
καὶ ἐξενεχθῆναι οἷόντ' ἐστίν, παραγρ. οδ', ὅπου Βησέληρος, ὃς δικαίως πάσας
διορθωτέον εἶναι νομίζει, ἐξαιρεῖ τὸ ἐξενεχθῆναι.

ΛΘ' Εἰσὶ δὲ συγκρούσεις φωνηέντων ὑπὸ πάντων ὁμολογούμεναι οὐδὲν ἔχειν δυσχερὲς
ἐν τῷ πρὸς Δημόνικον λόγῳ αἵδε· τῶν ἐξηριθμημένων αἱ δ', ζ', θ', ιβ', ιε', ιϛ', κδ',
κε', κϛ'. ἐν πάσαις γὰρ ταύταις συγκρούεται περί ἢ τὶ φωνήεντι· ὅτι δ' αἱ τοιαῦται
συγκρούσεις συνήθεις εἰσὶν Ἰσοκράτει, ῥᾷστόν ἐστι δεῖξαι καί, ἵνα τοὺς ἄλλους λόγους
σιωπῶ, ἐάν τις ζητήσῃ παραδείγματα αὐτῶν, πλεῖστα ἐν τῷ Εὐαγόρου ἐγκωμίῳ[α'] εὑρήσει.
Τῆς δὲ συγκρούσεως τῆς τὶ ἀντωνυμίας καὶ τοῦ ὅτι συνδέσμου πρὸς φωνῆεν ἑπόμενον
παραδείγματα εὕροι τις ἂν Δ', με', ὥστ' εἴ τι ἐν τῷ πλησιάζειν, καὶ ἐν τῇ τοῦ ϛ'
λόγου οδ' παραγρ. ὅ τι ἂν ἐχυρώτατον ᾖ, καὶ ἐν τῇ τοῦ ἑβδόμου λόγου πδ' παραγρ.
ὅ τι ἂν ὑμῖν δοκῇ, καὶ ἐν τῇ τοῦ ὀγδόου λόγου ρλδ' παραγρ. καὶ ἐν τῇ τοῦ ιδ' λόγου
Μ' λζ' παραγρ. ἔτι δὲ πλείω ἔστιν εὑρεῖν ἐν τῷ Παναθηναϊκῷ, οἷον παραγρ. κδ', κε', οδ', ρϛ',
σλε'. — Πασῶν οὖν τούτων τῶν συγκρούσεων, αἵ εἰσιν ἐννέα, ἀφαιρεθεισῶν, ὑπολείπονται
μόνον ἐννεακαίδεκα, ὧν δεῖ αὖθις ἐξελεῖν πάσας, αἳ διὰ τῆς καλουμένης θλίψεως ἀναι-
ροῦνται. δεῖ γὰρ γράφειν ἐν τοῖς ἐξηριθμημένοις παραδείγμασι β', χρησιμωτέρα δ'
εὐγενείας, ϛ', ζῆν σ' ὥσπερ[β'], ι', μήτ' ἄπειρος, ια', ὑπ' οἴνου, ιδ', παρὰ δ'
ἡμῶν, κζ', δ' ὅτι. καὶ ὅτι τοῦτον τὸν τρόπον πάσας τὰς συγκρούσεις, ὅπου θλίψει ἀναι-
ρεῖσθαι δύνανται, πανταχοῦ ἐν τοῖς Ἰσοκράτους λόγοις ἀνελεῖν χρή, τό γε νῦν παντί που
ΜΑ' δῆλον. Ἱερωνύμου δὲ Βολφίου τοῦτο ποιεῖν ἀρξαμένου, Βεκκήρου δὲ πανταχοῦ τὴν ἀπό-
στροφον θέντος, ὅπου ἔστιν ἐν τῷ Οὐρβιναίῳ ἀντιγράφῳ, ἐπὶ τῆς νῦν ἡλικίας Βησέληρος ἐν
μὲν τοῖς ἄλλοις λόγοις πανταχοῦ, ὅπου δυνατὸν ἦν καὶ τῇ Ἰσοκράτους συνηθείᾳ οἰκεῖον,
θλίψει ἐχρήσατο[γ'], κἂν ἐν τοῖς παλαιοῖς ἀντιγράφοις ἡ θλῖψις παραμεληθῇ· ἐν δὲ τῷ

α') Οἷον περὶ αὐτόν, παραγρ. β'. περὶ αὐτῶν, παραγρ. γ'. περὶ αὐτῶν, παραγρ. ε'. περὶ ὧν, ζ'. περὶ αὐτάς, ι'. περὶ αὐτῶν, ια'. περὶ αὐτῶν, ιβ'. περὶ αὐτόν, κ'. περὶ οὗ, κα'. περὶ ὧν, κα'. περὶ αὐτοῦ, κα'. περὶ αὐτούς, κδ'. περὶ ἐκείνους, κε'. περὶ ἀμφοτέρων, λγ'. περὶ αὐτῶν, λδ'. περὶ αὐτοῦ, λθ'. περὶ αὐτῶν, μβ'. περὶ ἕν, μγ'. περὶ ἑνός, νβ'. περὶ αὐτῶν, νζ'. περὶ αὐτοῦ, οα'.

β') οὕτω τινὲς τὸ ἁμάρτημα διορθοῦν ἐβούλοντο· ἐγὼ δὲ προελοίμην ἂν γράψαι· σὲ ζῆν ὥσπερ, ὅπερ εὑρίσκεται ἔν τισι παλαιοῖς ἀντιγράφοις. (Ἰδὲ Βησελ. περὶ τῆς συγκρούσεως τῶν φωνηέντων, βιβλ. α', σελ. μ'.)

γ') Ἰδὲ Βησελ. περὶ τῆς συγκρούσεως τῶν φωνηέντων, βιβλ. α'. σελ. θ'. καὶ ταῖς ἐφεξῆς.

πρὸς Δημόνικον λόγῳ μόνον, ὅπου ἐν τῷ Οὐρβιναίῳ ἀντιγράφῳ ἡ θλῖψις εὑρίσκεται, τέθεικε τὴν ἀπόστροφον· οἰηθεὶς γὰρ τὸν λόγον τοῦ Ἀπολλωνιάτου εἶναι Ἰσοκράτους ἀμφιγνοεῖ, εἰ ὁ ῥήτωρ οὗτος ὅσον πρὸς τὴν σύγκρουσιν τῶν φωνηέντων τοῖς τοῦ διδασκάλου παραγγέλμασιν ἐνέμεινεν· ὅτι δὲ τοῦτο πλημμελεῖ, καὶ Σνείδηρος Βησελήρῳ ἐπετίμησεν· εἰ γὰρ καὶ ὁ λόγος μὴ ἦν Ἰσοκράτους, ἀλλ' οὖν τοῦτό γε φανερὸν, ὅτι ὁ **ΜΒ'**
συνθεὶς αὐτὸν τὴν σύγκρουσιν τῶν φωνηέντων ἔφευγεν· εἰ γάρ τις ἐξέλοι ἐκ τοῦ λόγου πάσας τὰς φωνηέντων συγκρούσεις, αἳ, ὥσπερ αὗται, περὶ ὧν διαλέγομαι, ἢ Ἰσοκράτει συνήθεις εἰσὶν ἢ διὰ τῆς κράσεως καὶ θλίψεως ἁπλούστατα ἀναιροῦνται, πάνυ ὀλίγας ὑπολειπομένας ἂν ἴδοι — αἳ καὶ αὗται ἐξαιρεθεῖεν ἂν οὐ μετὰ πολλοῦ πόνου — ὅπερ οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἀλλ' ἐξ ἐπιμελείας τοῦ συγγράψαντος γενέσθαι εἰκός ἐστιν. Τούτων οὖν τῶν συγκρούσεων διὰ θλίψεως ἀναιρεθεισῶν ὁμοίως καὶ διοριστέον περὶ τοῖν δυοῖν παραδειγμάτοιν, ἐν οἶν οἰκείως τῇ Ἰσοκράτους συνηθείᾳ, ᾗ καί πολλοὶ ἄλλοι συγγραφῆς χρῶνται, διὰ κράσεως τὴν τῶν φωνηέντων συμπλοκὴν ἀνελεῖν χρή, ιζ' τὰ ἑαυτοῦ, παραγρ. λε', καὶ ιη', τὰ ἐκείνων παραγρ. λϛ'. καὶ δὴ καὶ γραπτέον τἀκείνων, ἐπεὶ τἀκεῖ, τἀκεῖνα καὶ ὅσα τοιαῦτα ἀεὶ οὕτω γράφεται ἐν τοῖς Ἰσοκράτους λόγοις. τὸν δ' αὐτὸν τρόπον καὶ ὃ ἀναγιγνώσκεται παραγρ. λζ' καὶ αὐτός τῇ Ἰσο- **ΜΓ'**
κράτους συνηθείᾳ οὐκ ἐναντιοῦται. πολλὰ γὰρ παραδείγματα ἔστιν ἐν πᾶσι τοῖς λόγοις, ἐν οἷς ὁ καί σύνδεσμος συγκρούεται φωνήεντι ἑπομένῳ[α'])*. καὶ δὴ καὶ τούτων ἀφαιρεθεισῶν δέκα μόνον ὑπολείπονται, ὧν αἱ πλείους πράγματα οὐ παρέχουσιν. λέγω δὲ ταύτας, αἳ καὶ αὐταὶ ῥᾷστ' ἂν ἐνεχθεῖεν ἅτε ἀληθῶς τῇ Ἰσοκράτους συνηθείᾳ οὐκ ἐναντιούμεναι, τῶν φωνηέντων συγκρουόντων μὲν ἀλλήλοις, πάσης δὲ τῆς ἀηδίας τῆς ἐκ τῆς συγκρούσεως ὀλίγου ἀφανιζομένης, διότι γίγνεται μεταξὺ δυοῖν κώλοιν ὥστε διαστίξει διαχωρίζεσθαι τὰ δύο φωνήεντα. τοιαῦταί εἰσιν ἐν τῷ πρὸς Δημόνικον λόγῳ αἵδε· α') ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν κτλ. παραγρ. γ'. ε') καταριθμησαίμεθα. ἀλλὰ τὸ μὲν ἀκριβές κτλ. παραγρ. ια'. ιγ') τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι κτλ. παραγρ. λδ'.*

Ἐν πᾶσι δὴ τοῖς παραδείγμασι τούτοις ἡ σύγκρουσις διὰ τὰς προειρημένας αἰτίας **ΜΔ'**
οὐδὲν ἔχει ἀηδές. ὅτι δ' οὐκ ἐναντιοῦται τῇ Ἰσοκράτους συνηθείᾳ καὶ Βησέληρος συγχωρεῖ[β'])* καὶ καταφανές ἐστιν ἐκ πλειόνων παραδειγμάτων, ἃ ἐν τοῖς ἄλλοις λόγοις Ἰσοκράτους εὑρίσκεται, οἷον Δ', οδ'· ἀνάγκη . . . μικρὰ δέ τινα παραλελεῖφθαι. ὅμως δ' ἐκ τῶν ὑπολοίπων . . . οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν. καὶ Β', λη'· ταῦτα τοῖς ἔργοις ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. εἰ δέ τις λέγοι Ἰσοκράτη καθ' ὅλου καὶ ἐν τοῖς τοιούτοις τὴν τῶν φωνηέντων σύγκρουσιν ἐκφυγεῖν, πρὸς δὲ τούτοις καὶ θαυμάζειν, εἰ ἐν μικρῷ λόγῳ τρία ταύτης τῆς συγκρούσεως παραδείγματα εὑρίσκεται, ἀποκριναίμην ἄν, ὅτι τοῦ πρὸς Δημόνικον λόγου οὐχ ὁμοίως ἔχοντος ὅσον πρὸς τὸ μῆκος τῶν κώλων καὶ τὴν σύναψιν αὐτῶν, ἀλλ' ἐκ συχνῶν βραχειῶν γνωμῶν ὡς ἐπὶ τὸ πολὺ συγκειμένου οὐ δεῖ θαυμάζειν, εἰ οὕτω πλεονάκις τὰ φωνήεντα μεταξὺ δυοῖν κώλοιν συγκρούεται.*

Οὐ μὴν οὐδὲ μάλ' ἐπίπονόν ἐστι καὶ πᾶσαν ἐξελεῖν ἀηδίαν καὶ ταῦτα μικρᾷ **ΜΕ'**
μεταβολῇ. γράψειε γὰρ ἄν τις ἐν τῇ γ' παραγρ. ἐγὼ δ' ἐπανορθῶ τοὺς φιλοσοφοῦντας. Ὅσοι μὲν οὖν κτλ. καὶ ἐν τῇ ια' παραγρ. εἰ πάσας καταριθμησαίμεθα τὰς ἐκείνου πράξεις. ἀλλὰ τὸ μὲν κτλ. καὶ ἐν τῇ λδ' παραγρ. τὰ

α') Ἰδὲ Βησελ. Περὶ τῆς συγκρ. τῶν φων. βιβλ. α'. σελ. ξα'.
β') Περὶ τῆς συγκρούσεως τῶν φωνηέντων, βιβλ. α'. σελ. μϛ'.

δόξαντα. Πάντων ἡγοῦ κράτιστον εἶναι ἢ ὧδε· τὰ δόξαντα. Νόμιζε
κράτιστον εἶναι κτλ. ὥστε τὸ νόμιζε ἀντὶ τοῦ ἡγοῦ τεθῆναι, ἴσμεν γὰρ τοὺς
μεταγράφοντας ἐνίοτε καὶ λέξεις συνωνύμους ἀντ' ἀλλήλων καταλλάττοντας, ὥσπερ
λόγ. Β' παραγρ. ν' ἐν τῷ Οὐρβιναίῳ εὑρίσκεται βασιλεύοντα ἀνθ' οὗ ἔχει τὰ κατα-
δεέστερα ἀντίγραφα· τύραννον ὄντα. καὶ λόγ. Η' παραγρ. ϛ' ἐν τοῖς Διονυσίου
ἀντιγράφοις, ὡς ἔστιν ἰδεῖν ἐκ τοῦ πίνακος, ὃν ἄνω σελ. ι' προέθηκα, εὑρίσκεται στέρ-
γειν τὸ ἴσον ἀνθ' ὧν ἔχει τὰ Ἰσοκράτους ἀντίγραφα· στέργειν τοῖς παροῦσιν.
οὐδὲ τὴν ὀλίγων λέξεων μετάθεσιν, ᾗ Ἰσοκράτη χρῆσθαι οἶμαι, δικαίως ἄν τις δύναιτο
αἰτιᾶσθαι ὡς ἐναντίαν οὖσαν τῇ τοῦ ῥήτορος χρήσει, καὶ γὰρ ἐπέδειξα Ἰσοκράτη ταύτῃ
τῇ μηχανῇ χρώμενον, ἵνα ἐκφύγῃ τὴν τῶν φωνηέντων σύγκρουσιν, παραγρ. ΙΕ', σελίδ. ε'.
ΜϚ' Ὑπολείπονται δ' ἔτι ἐν τῷ πρὸς Δημόνικον λόγῳ ἑπτὰ συγκρούσεις φωνηέντων, περὶ
ὧν ἤδη μοι λεκτέον ἐστίν. τούτων δ' ἡ μὲν ἐν τῇ λη' παραγραφῇ εὑρισκομένη ῥᾷστά
θ' ἅμα καὶ ἀσφαλέστατα διορθοῦται· τῶν γὰρ ἀντιγράφων ἐχόντων· ἀνέχου δὲ τὸ
ἴσον ἔχων τίς οὐκ ἂν συνίδοι, ὅτι γραπτέον ἐστίν· ἀνέχου δ' ἴσον ἔχων, ἐξαιρε-
θέντος τοῦ ἄρθρου; τοῦτο γὰρ ὅτι ὑπὸ τῶν μεταγραφόντων προσετέθη, φανερὸν, καὶ
ἡ σύγκρουσις τῶν φωνηέντων ἐλέγχει τὴν γραφὴν, ὡς ἡμάρτηται· τὸ δ' αὐτὸ ἁμάρτημα
ἤδη ἄνω ἐν τοῖς Διονυσίου ἀντιγράφοις ηὕρομεν, παραγρ. Δ', σελ. θ'. πρὸς δὲ τούτοις
ἐξ ἄλλων λόγων Ἰσοκράτους μάθοι ἄν τις, ὅτι ὁ ῥήτωρ οὗτος λέγει ἴσον ἔχειν καὶ
οὐ τὸ ἴσον ἔχειν. Ἰδὲ Ζ', ξθ'· τοῖς πολίταις ἴσον ἔχειν, ΙΖ', νδ'. οὐ μόνον
ΜΖ' ἴσον ἀλλὰ καὶ πλέον ἔχοντας. τὰ δ' ὑπόλοιπα ἓξ παραδείγματα, ἐν οἷς φωνήεντα
συγκρούεται φωνήεσι, δεῖ καὶ αὐτὰ ἐξ εἰκασίας διορθοῦσθαι, ἐπειδὴ ἐν τοῖς ἀντιγράφοις
ἡ ἀληθινὴ γραφὴ διέφθαρται, ὅτι δὲ διορθωτέον ἐστὶ, δῆλον παντὶ τῷ τὴν Ἰσοκράτους
συνήθειαν εἰδότι. ἐστὶ δὲ τάδε· παραγρ. θ' οὐδὲ τὸν πλοῦτον παρακαίρως
ἠγάπα, ἀλλ' ἀπέλαυε κτλ. ὅπως δὲ τοῦτο διορθωτέον, σαφὲς, καὶ εἶδε καὶ Βλάσσιος,
ὅτι Ἰσοκράτης ἔγραψεν· ἠγάπα παρακαίρως. καὶ σημειωτέον, ὅτι Ἰσοκράτης ἕνεκα
τοῦ ἐκφεύγειν τὴν τῶν φωνηέντων σύγκρουσιν τὰ ἐπιῤῥήματα πολλάκις τίθησι μετὰ τὰ
ῥήματα, οἷον ΙΒ', ρνζ'· προσῆκον αὐταῖς καὶ περὶ τῶν ἐχομένων βουλεύ-
ΜΗ' σασθαι καλῶς, εἰς τοῦτ' ἦλθον οὐκ ἀνοίας κτλ. — Παραγρ. κ'· τῷ μὲν
τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἐνταῦθα
Βλάσσιος μὲν οἴεται Ἰσοκράτη γράψαι· τῷ λόγῳ δ' εὐπροσήγορος. ἐγὼ δὲ προ-
ελοίμην ἄν· τοῖς μὲν τρόποις γίγνου φιλοπροσήγορος, τοῖς δὲ λόγοις
εὐπροσήγορος. Ἰσοκράτης γὰρ ἐνίοτε πληθυντικῶς ἐκφέρει ἃ ἂν ἄλλοι τε ἀεὶ καὶ
αὐτὸς πολλάκις ἑνικῶς ἐκφέροιεν, ὡς ἐπέδειξε Βησέληρος ἐν τῷ περὶ τῆς συγκρούσεως
τῶν φωνηέντων α' βιβλ. σελ. ιβ'. πρὸς δὲ τούτοις τὰ τῶν τρόπων ἤθη εἶπεν Ἰσο-
ΜΘ' κράτης ἐν τῷ αὐτῷ λόγῳ παραγρ. δ'. — Παραγρ. λη' πλεονεκτεῖν μὲν δύνασθαι,
ἀνέχου δὲ κτλ. καὶ ταῦτα μεταθέσει τῶν ῥημάτων δεῖ ἰᾶσθαι καὶ γράφειν· δυ-
νασθαι μὲν πλεονεκτεῖν, ἀνέχου δέ. ὁμοίᾳ δὲ ῥημάτων θέσει κέχρηται Ἰσο-
κράτης ἐν οἷς Β', λε' ἔγραψεν· τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι δύ-
νασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. — Παραγρ. λη'· ὠφελεῖ δὲ,
ἡ δέ. Βλάσσιος βούλεται τὴν τοῦ Οὐρβιναίου γραφὴν ἀναλαβὼν γράψαι τὰ δέ
ἀντὶ τοῦ ἡ δέ, ὅπερ ἐγὼ σεσολοικίσθαι πέπεισμαι· οἶμαι δ' ἀντὶ τοῦ ὠφελεῖ γρα-
πτέον εἶναι ὀνίνησιν, ἀνθ' οὗ οἱ μεταγράφοντες τὸ ὠφελεῖ, ὡς συνώνυμον ὂν, ἔθε-
Ν' σαν. περὶ δὲ τῶν τοιούτων μεταλλαγῶν εἶπον ἄνω ἐν τῇ ΜΕ' παραγρ. — Παραγρ. μ'·
Πειρῶ τῷ μὲν σώματι εἶναι φιλόπονος, τῇ δὲ ψυχῇ φιλόσοφος. καὶ ἐν-
ταῦθα ἡ Ἰσοκράτους συνήθεια ὑπὸ τῶν μεταγραφόντων ἠμελήθη· ὁ γὰρ ῥήτωρ ἔγραψεν·

Πειρῶ τῷ μὲν σώματι φιλόπονος εἶναι. — Παραγρ. μθ'. ἢ πού γε τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσωμεν; ἐν τούτοις τὸ ἁμάρτημα κεῖται μεταξὺ τῶν λέξεων· παντὶ ἐλαττουμένους· τίς δ' ἡ ἀληθινὴ γραφὴ ἀμφιγνοῶ· οἶμαι δ' ἢ πάντως ἀντὶ τοῦ παντὶ γραπτέον, ἵν' ἀντίστροφον ᾖ τῷ μόνον ἐπιῤῥήματι, ὃ Βέκκηρος ἐκ τοῦ Οὐρβιναίου ἀντιγράφου ἀνέλαβεν, ἢ παντὶ τῶν ἄλλων ἐλαττουμένους. συντάττεται δὲ καὶ παρ' Ἰσοκράτει τὸ ἐλαττοῦσθαι γενικῇ, ΙΕ', σπα'.

Οὕτω μὲν οὖν πάσας τὰς συγκρούσεις τῶν φωνηέντων τὰς ἐν τῷ πρὸς Δημόνικον λόγῳ ἢ τῇ Ἰσοκράτους συνηθείᾳ οὐκ ἐναντιουμένας ἐπεδείξαμεν ἢ ἀνείλομεν ἄνευ πολλοῦ πόνου καὶ ταῦτα ποιοῦντες οὐδὲν ἄλλο ἐποιήσαμεν ἢ ὃ Βησέληρος ἐν τοσαύταις συμπλοκαῖς τῶν φωνηέντων ἐν τοῖς ἄλλοις λόγοις ἐποίησεν. καὶ ὡς πολλὰ ἡμάρτηται τοιαῦτα ἐν τοῖς Ἰσοκράτους ἀντιγράφοις, ἐν τοῖς ἔμπροσθεν διὰ μακροτέρων ἐδηλώσαμεν. ἐκ δὲ τῶν τοιούτων, ἃ οἱ μεταγράφοντες ἡμαρτήκασιν, οὐκ ἔξεστι τεκμαίρεσθαι τὸν λόγον οὐκ εἶναι Ἰσοκράτους· εἰ γὰρ τοῦτ' ἐξῆν, πάντες οἱ ἄλλοι λόγοι οἱ Ἰσοκράτους νόθοι ἂν ἦσαν· ταὐτὰ γὰρ ἢ ὅμοια ἡμαρτημένα ἐν πᾶσιν εὑρίσκεται. Διὸ καὶ Βλάσσιος, ὃς τὸν λόγον τοῦ Ἀθηναίου Ἰσοκράτους οὐκ εἶναι νομίζει, ἐκ τῶν συγκρούσεων τῶν φωνηέντων ὅμως τοῦτο τεκμαίρεσθαι οὐκ οἴεται δεῖν[α']). ἔστι δ' ἄλλο τεκμήριον, ὃ πρὸς τὸ ἐπιδεῖξαι τὸν λόγον ὄντα νόθον ἱκανὸν εἶναι ἡγεῖται. Βησέληρος γὰρ, ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐδήλωσα, πολλὰ ὀνόματά τε καὶ ῥήματα ἐκ τοῦ λόγου συνέλεξεν, ἃ φησιν Ἰσοκράτεια οὐκ εἶναι. ἔστι δὲ τάδε[β']) · ἀβουλία, ἡ, παραγρ. λε'. ΝΑ'
ἀκιβδήλως, παραγρ. ζ'. ἀκούσιος, ον, παραγρ. κα'. ἀκοῦσμα, τὸ, παραγρ. ιβ' καὶ ιθ'. ἀόρατος, ον, παραγρ. κθ'. ἀπαιδευσία, ἡ, παραγρ. λγ'. ἀπεικάζω, παραγρ. ια'. ἀπεχθής, ές, παραγρ. κ'. ἀπόλαυσις, ἡ, παραγρ. κζ'. ἅρμα, τὸ, παραγρ. λβ'. αὐθάδης, ες, παραγρ. ιε'. αὐτεπάγγελτος, ον, παραγρ. κε'. ἀχαρίστως, παραγρ. λα'. βλάστημα, τὸ, παραγρ. νβ'. βραδέως, παραγρ. κδ' καὶ λδ'. γελοῖος, α, ον, παραγρ. λα'. γέλως, ὁ, παραγρ. ιε'. γλῶττα, ἡ, παραγρ. μα'. γραφεύς, ὁ, παραγρ. ια'. διαπεράω, παραγρ. ιθ'. δύσερις, ιδος, παραγρ. λα'. εἴκω, παραγρ. λα'. εἰλικρινής, ές, παραγρ. μς'. ἐνδέχομαι, παραγρ. μη'. ἔντευξις, ἡ, παραγρ. κ'. ἐξανίστημι, παραγρ. λβ'. ἔπακτος [γρ. ἐπακτός], ον, παραγρ. κγ'. ἐπιβάλλω, παραγρ. η'. ἐπιβλέπω, παραγρ. κα' καὶ λε'. ΝΒ'
ἐπιορκέω, παραγρ. κγ'. εὐθύνω, παραγρ. λβ'. εὐλαβέομαι, παραγρ. ιζ' καὶ λβ' καὶ μγ'. ΝΓ'
εὐορκέω, παραγρ. κγ'. εὐπροσηγορία, ἡ, παραγρ. κ'. εὐπροσήγορος, ον, παραγρ. κ'. ἐφάμιλλος, ον, παραγρ. ιβ'. ζηλωτής, ὁ, παραγρ. ια'. ἡνίοχος, ὁ, παραγρ. λβ'. θαρσαλέως, παραγρ. ζ'. θηρεύω, παραγρ. ις'. θησαυρός, ὁ, παραγρ. κθ'. θράσος, παραγρ. ιε'. θυμοῦμαι, παραγρ. με'. καθιζάνω, παραγρ. νβ'. κακοποιΐα, ἡ, παραγρ. κς'. καλλωπιστής, παραγρ. κζ'. καλοκαγαθία, παραγρ. ς' καὶ ιγ' καὶ να'. κατάδηλος, ον, παραγρ. μβ'. κατακρίνω, παραγρ. μγ'. καταριθμέομαι, παραγρ. ια'. κληρονομέω, παραγρ. β'. λήγω, παραγρ. ιδ'. μακράν, ἐπίῤῥ., παραγρ. α'. μανικός, ή, όν, παραγρ. ιε'. μαραίνω, παραγρ. ς'. μεγαλοπρεπής, ές, παραγρ. ι' καὶ κζ'. μέθη, ἡ, παραγρ. λβ'. μέλιττα, ἡ, παραγρ. νβ'. μιμητής, ὁ, παραγρ. β' καὶ ια'. μοχθηρός, ά, όν, παραγρ. λγ' καὶ λη'. οἰκονομέω, παραγρ. ε' καὶ μς'. ὄκνος, ὁ, παραγρ. ζ'. ὁμιλητικός, ή, όν, παραγρ. λ' καὶ λα'. παράγγελμα, τὸ, παραγρ. μδ'. παραίνεσις, ἡ, παραγρ. ε'. παρακαίρως, παραγρ. θ'. παραπήγνυμι, παραγρ. μς'. παραυτίκα, πα-

---

α') Περὶ τῶν Ἀττικῶν ῥητόρων. τόμ. β'. (Ἰσοκρ. καὶ Ἰσ.). σελ. σνζ'.
β') Ἰανίου Χρον. φιλολ. ἐκδ. ἔτει ,αωξ'. τόμ. πβ'. σελ. ρκδ'.

ΝΔ' ραγρ. ιζ'. παροξυντικός, όν, παραγρ. λα'. πέλαγος, τὸ, παραγρ. ιθ'. περίλυπος, ον,
παραγρ. μβ'. περιπατέω, παραγρ. μβ'. πλησμονή, παραγρ. κ' καὶ μϛ'. πολυμαθής,
ές, παραγρ. ιη'. προοράω, παραγρ. μ'. προπετής, ές, παραγρ. ιε'. προσζημιόω, παραγρ.
λγ'. προσμένω, παραγρ. κε'. προσφωνέω, παραγρ. κ'. προτρεπτικός, ή, όν, παραγρ.
γ'. προτρέχω, παραγρ. μα'. πῦρ, τὸ, παραγρ. κε'. σιγή, ἡ, παραγρ. μα'. σιτίζω,
παραγρ. κθ'. σκυθρωπός, όν, παραγρ. ιε'. συγγηράσκω, παραγρ. ζ'. συμβουλία, ἡ,
παραγρ. μδ'. συμμέτρως, παραγρ. λβ'. σύν, παραγρ. ιϛ'. συνήθεια, ἡ, παραγρ. α'
καὶ β'. σύννους, ουν, παραγρ. ιε'. σφάλλομαι, παραγρ. λβ'. ταμιεῖον, τὸ, παραγρ.
μδ'. τερπνός, ή, όν, παραγρ. κα'. τέρψις, ἡ, παραγρ. ιϛ' καὶ μϛ'. ὑλακτέω, παραγρ.
κθ'. ὑπηρέτης, ὁ, παραγρ. ϛ'. ὑπουργέω, παραγρ. λα'. φιλαίτιος, ον, παραγρ. λα'.
φιλεπιτιμητής, οῦ, παραγρ. λα'. φιληκοΐα, ἡ, παραγρ. ιη'. φιλομαθής, ές. παραγρ. ιη'.
φιλόνικος, ον, παραγρ. λα'. φιλοπροσηγορία, ἡ, παραγρ. κ'. φιλοπροσήγορος, ον, παραγρ.
κ'. φιλοχρημάτως, παραγρ. κγ'. χαρακτήρ, παραγρ. η'. ψόγος, ὁ, παραγρ. ζ' καὶ λγ',
καὶ μγ'.

ΝΕ' Ταῦτ' οὖν ἐξαριθμήσας προστίθησιν· „εἰ οὖν καὶ ἀπὸ τοῦ στοιχείου Π, ὅθεν
τῆς ἐμῆς συλλογῆς ἐλλιποῦς οὔσης Μιχέλλου Λέξεσιν Ἰσοκρατείοις χρῆσθαι ἠναγκάσθην,
μίαν ἢ δύο λέξεις ἔδει ἐξαλεῖψαι, ἀλλ' οὖν ὅ γ' ἀριθμὸς οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπερ-
βάλοι ἑκατόν· αὐξάνεται δ' ἔτι ὑπερφυῶς, εἴ τις ἐνθυμοῖτο ὀλίγας εὑρισκομένας παρα-
γραφὰς τοῦ λόγου, ἐν αἷς οὐκ ἂν ἐντύχοι ῥήμασιν, ἃ ἐν τοῖς ἄλλοις Ἰσοκράτους λόγοις
διαφόρους σημασίας ἔχει ἢ ἄλλως συντάττεται ἢ σχηματίζεται.“

ΝϚ' Πρὸς ταύτην οὖν τὴν κατηγορίαν τί ἐροῦμεν;

Πρῶτον μὲν, ὅτι ἐν τῷ ἄνω καταλόγῳ τῶν μὴ Ἰσοκρατείων λέξεων, ὥς γοῦν
οἴεται Βησέληρος, ἔνεισι καὶ πολλαὶ συνήθεις καὶ κοιναὶ πάντων τῶν Ἑλλήνων, καὶ αἳ
καὶ τοῖς ἐπὶ τῶν ἐργαστηρίων καὶ τῶν καπηλείων ἀναγκαῖαί εἰσι, καὶ ὅτι γέλωτα οὖν
παρέχει, εἰ ἐκ τῆς χρείας τῶν τοιούτων λέξεων βούλεται συλλογίσασθαι τὸν λόγον οὐκ
εἶναι Ἰσοκράτους. ἢ οἴεται Βησέληρος Ἰσοκράτη ὡς ἀληθῶς ἀπέχεσθαι τῶν λέξεων
τῶνδε· ἅρμα, ἀχαρίστως, γέλως, γελοῖος, γλῶττα, ἐπιορκεῖν, θησαυρός,
θράσος, λήγειν, μέθη, μέλιττα, περιπατεῖν, πῦρ, σιγή, συνήθεια, τα-
μιεῖον, τερπνός, τέρψις, ὑλακτεῖν, ψόγος, καὶ τοσούτων ἄλλων, ὧν οὐδεὶς
ΝΖ' ἂν δύναιτο ἀπέχεσθαι. εἰ οὖν Βησέληρος καὶ οἱ ταὐτὰ ἐκείνῳ φρονοῦντες, οἴονται
Ἰσοκράτη τὰς προειρημένας λέξεις ἀποδοκιμάσαι, λεγόντων ἡμῖν, τίσιν ὀνόμασιν ὁ
περίβλεπτος ῥήτωρ σημαίνοι ἂν τὸ πῦρ ἢ τὸν ψόγον ἢ τὸν γέλωτα, καὶ μυρία ἄλλα, ἃ
οὐδ' ἄν τις βουληθεὶς ἄλλως εἴποι, εἰ τούτων τῶν κοινῶν πᾶσι τοῖς Ἕλλησι λέξεων
ἀπέχεσθαι προέλοιτο; Λέγομεν δ' ὅτι τὸ τοιοῦτον οὐ μόνον ἀτοπώτατον, ἀλλὰ καὶ
ἀδύνατόν ἐστιν. εἰ δ' ἐν τοῖς ἄλλοις Ἰσοκράτους λόγοις τὸ πῦρ καὶ τὸ ὑλακτεῖν καὶ
ἄλλα τοιαῦτα μὴ εὑρίσκεται, τούτου οὐδὲν ἄλλο αἴτιον ἢ ὅτι οὐδεμία ἀφορμὴ ἦν τοῦ
ΝΗ' χρῆσθαι ταῖς λέξεσι ταύταις· εἰ γὰρ ἀφορμὴ ἦν, δῆλον ὅτι ἂν καὶ Ἰσοκράτης παρα-
δείγματος ἕνεκα ἔγραψεν, ὅτι Προμηθεὺς τὸ πῦρ κλέψας ἔδωκε τοῖς ἀνθρώ-
ποις ἢ οἱ στρατιῶται πῦρ ἔκαον ἢ ὁ τῆς Ἑκάτης κύων ὑλάκτησε καὶ ὅσα
τοιαῦτα. Ἐπειδὴ δ' ἐν τῷ πρὸς Δημόνικον λόγῳ ὁ ῥήτωρ πολλῶν πραγμάτων μέμνη-
ται καὶ μάλιστα τῶν εἰς τὸν βίον τὸν τῶν ἰδιωτῶν συντεινόντων, ὧν ἐν τοῖς ἄλλοις
λόγοις, ὅπου τοὺς λόγους ποιεῖται περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν
πραγμάτων, μνησθῆναι οὐκ ἦν καιρός, οὐ δεῖ παράδοξον φαίνεσθαι, πολλὰς λέξεις
ἐν τῷ πρὸς Δημόνικον λόγῳ εὑρίσκεσθαι, αἷς ἐν τοῖς ἄλλοις λόγοις χρῆσθαι και-
ρὸς οὐκ ἦν.

Καὶ μὴν τοῦτο καθ' ὅλον καταφανὲς, ὅτι ἐν τοῖς τῶν παλαιῶν συγγράμμασιν ΚΗ'
πολλὰ διέφθαρται ὑπὸ τῶν μεταγραφόντων· ἐνίοτε δὲ καὶ παραλελεῖφθαι συμβαίνει
ὑπ' αὐτῶν ὀνόματά τε καὶ ῥήματα πλείω, ὥστ' εἰ καὶ πολλὰ τῶν οὕτω διεφθαρμένων
ἢ κεκολουσμένων οἱ ἐπιφανέστατοι κριτικοὶ ἀγχίνως ἐπηνωρθώσαντο, οὐκ ὀλίγα ἔτι
ὑπόλοιπά ἐστιν, ἃ οὐδείς πω διώρθωσε, πολλὰ δὲ διεφθαρμένα καὶ παντάπασιν ἀδύ-
νατον ἐπανορθώσασθαι. Καὶ ὅσον πρὸς Ἰσοκράτη, ὅτι τοῦθ' οὕτως ἔχει, οὐ μόνον ἐκ ΚΘ'
τῶν παλαιῶν ἀντιγράφων καταφανές ἐστιν, ἃ πολλάκις ἀλλήλοις οὐ συμφωνεῖ ἢ φανε-
ρῶς ἡμαρτημένας γραφὰς παρέχεται, ἀλλὰ καὶ ἐκ τοῦ μὴ παντάπασιν συμφωνεῖν τὰ ἐν
τῷ περὶ τῆς Ἀντιδόσεως ἐκ τεττάρων ἄλλων λόγων παρατεθέντα μέρη αὐτοῖς τοῖς
πρότερον γεγραμμένοις τούτοις, οἷα ἐν τοῖς παλαιοῖς ἀντιγράφοις σώζεται. Ἄτοπον
γὰρ ἂν ἦν ὑπολαβεῖν τῶν διαφορῶν τούτων, αἳ πολλάκις ἐξ ὀλίγων στοιχείων ἢ δια-
φόρων τῆς λέξεως σχημάτων σύγκεινται, Ἰσοκράτη αὐτὸν αἴτιον εἶναι, ὥσπερ ἂν εἰ
αὐτὸς μὴ ἠδυνήθη ἀκριβῶς τὰ ἑαυτοῦ μεταγράψαι.

Πρὸς δὲ τούτοις ὅμοιαι διαφοραὶ εὑρίσκονται καὶ ἐν οἷς Διονύσιος ὁ Ἁλικαρ- Λ'
νασσεὺς ἐξ Ἰσοκράτους παρατίθεται. καὶ καθ' ὅλου μὲν τὰ ἀντίγραφα, ἐν οἷς τὰ
Διονυσίου συγγράμματα ἡμῖν ἐσώθη, πολὺ καταδεέστερά ἐστι τοῦ Οὐρβιναίου ἀντι-
γράφου· ἐνίοτε δ' ἡ ἀληθινὴ γραφὴ ἢ ταύτης ἴχνος φανερὸν εὑρίσκεται ἐν τοῖς Διονυ-
σίου ἀντιγράφοις.[α'] *πειράσομαι δὲ τοῦτο, ὡς ἂν δύνωμαι συντομώτατα, δηλῶσαι*
παραδείγματι χρώμενος μέρει τινὶ ὧν Διονύσιος ἐν τῷ περὶ Ἰσοκράτους συγγράμματι
παρατίθεται ἐκ τοῦ Περὶ εἰρήνης λόγου. τὰς οὖν διαφόρους γραφὰς τῶν ὀκτὼ προτέρων
παραγραφῶν περιέχει ὁ πίναξ ὅδε.

ΤΑ ΜΕΝ ΙΣΟΚΡΑΤΟΥΣ ΑΝΤΙΓΡΑΦΑ ΕΧΕΙ·	*ΤΑ ΔΕ ΔΙΟΝΥΣΙΟΥ ΑΝΤΙΓΡΑΦΑ ΕΧΕΙ·*
παραγρ. α'.	
α') περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύσειν.	*α') περὶ ὧν αὐτοὶ μέλλουσι συμβουλεύειν.*
β') καὶ γ') οὐ μὴν ἀλλ' εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε (ἡ δὲ κοινὴ ἀνάγνωσίς ἐστιν· ἥρμοζε) τοιαῦτα προειπεῖν.	*β') καὶ γ') οὐ μὴν ἀλλ' εἰ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν.*
δ') περὶ τῶν νυνὶ (Οὐρβ. νῦν) παρόντων (κοινῶς προστίθεται· πραγμάτων).	*δ') περὶ τῶν νυνὶ παρόντων.*
παραγρ. β'.	
ε') καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους.	*ε') καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσαμένους.*
παραγρ. γ'.	
ϛ') οὐδὲ τὴν φωνὴν ἀνεχομένους.	*ϛ') οὐδὲ τῆς φωνῆς ἀνεχομένους.*
ζ') πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις. ὃ καὶ δικαίως ἄν τις κτλ.	*ζ') πλὴν τοὺς συναγορεύοντας ταῖς ἐπιθυμίαις ὑμῶν, οἷς καὶ δικαίως ἄν τις κτλ.*

α') Οἷον Δ', ϟζ', ὅπου ἐν μὲν τοῖς Ἰσοκράτους ἀντιγράφοις ἔστι· Καὶ οὐδέ· τὰ δὲ Διονυσίου ἔχει· Καὶ μηδὲ, ὃ καίπερ σεσολοικισμένον ἀποδέχεται Βησέληρος· ἐγὼ δ' ἡγοῦμαι τὴν ἀληθῆ γραφὴν εἶναι· Καὶ μὴν οὐδέ· τοῦτο γὰρ λανθάνει ἐν τῇ διεφθαρμένῃ Διονυσίου γραφῇ· Καὶ μηδέ.

παραγρ. δ′.	
ΛΑ′ η′) ταύτην ἔχοντας τὴν τέχνην (οὕτω τὸ Οὐρβιναῖον ἀντίγραφον· κοινῶς δ' ἀναγιγνώσκεται γνώμην).	η′) ταύτην ἔχοντας τὴν τέχνην.
παραγρ. ε′.	
θ′) πᾶσι γὰρ ἦν φανερὸν (κοινῶς· ἅπασι γάρ ἐστι φανερόν).	θ′) ἅπασι γὰρ ἦν φανερόν.
παραγρ. ς′.	
ι′) ὡς καὶ τὰς κτήσεις.	ι′) ὡς τὰς κτήσεις.
ια′) τοιοῦτον ὑποτείνουσιν (κοινῶς· τοιοῦτο προτείνουσιν).	ια′) τοιοῦτον ὑποτείνουσιν.
ιβ′) στέργειν τοῖς παροῦσιν.	ιβ′) στέργειν τὸ ἴσον.
παραγρ. ζ′.	
ιγ′) περὶ τῶν ὑπαρχόντων (οὕτω τὸ Οὐρβιναῖον ἀντίγρ. κοινῶς καὶ περί).	ιγ′) περὶ τῶν ὑπαρχόντων.
ιδ′) ὅπερ ἄξιον.	ιδ′) διόπερ ἄξιον.
παραγρ. η′.	
ιε′) ἀλλὰ τῶν θεῶν (οὕτω τὸ Οὐρβιναῖον· κοινῶς· ἀλλ' ὡς τῶν θεῶν).	ιε′) ἀλλὰ τῶν θεῶν.
ις′) ὅτι κατορθώσομεν (κοινῶς· ὅτι καὶ κατορθώσομεν).	ις′) ὅτι κατορθώσομεν.
ιζ′) καὶ ῥαδίως ἐπικρατήσομεν τῶν ἐχθρῶν (κοινῶς· καὶ ῥαδίως τῶν ἐχθρῶν ἐπικρατήσομεν).	ιζ′) καὶ ῥαδίως κρατήσομεν τῶν ἐχθρῶν.
ιη′) ὅ τι ἂν τύχῃ δὲ γενησόμενον.	ιη′) ὅ τι δ' ἂν τύχῃ γενησόμενον.

ΛΒ′ Ἀλλὰ ταῦτα μὲν ἱκανὰ ἔσται ἐπιδεῖξαι ὅπερ ἠβουλήθην. γιγνώσκομεν γὰρ ἐκ τῶν παρακειμένων γραφῶν, ὅτι αἱ ἐν τῷ Οὐρβιναίῳ ἀντιγράφῳ εὑρισκόμεναι ἐν πᾶσι τοῖς ὀκτωκαίδεκα παραδείγμασι κρείττους ἢ ὀρθότεραί εἰσι τῶν ἐν τοῖς ἄλλοις ἀντιγράφοις εὑρισκομένων. αἱ δὲ τοῦ Οὐρβιναίου γραφαὶ ἐν δέκα παραδείγμασι (α′. β′. ε′. ς′. ζ′. ι′. ιβ′. ιδ′. ιζ′. ιη′) κρείττους εἰσὶ τῶν ἐν τοῖς Διονυσίου ἀντιγράφοις εὑρισκομένων· ἐν δ' ὀκτὼ παραδείγμασιν (γ′. δ′. η′. θ′. ια′. ιγ′. ιε′. ις′) αἱ τοῦ Οὐρβιναίου γραφαὶ συμφωνοῦσι ταῖς τῶν Διονυσίου ἀντιγράφων· τὰ δὲ Διονυσίου ἀντίγραφα ἔχει δέκα γραφὰς ἡμαρτημένας, τὰ δὲ καταδεέστερα Ἰσοκράτους ἀντίγραφα ἐννέα ἡμαρτημένας γραφὰς (γ′. δ′. η′. θ′. ια′. ιγ′. ιε′. ις′. ιζ′) ἐν ταῖς ὀκτωκαίδεκα, ἃς ἐξηριθμήσαμεν. Ἐκ τούτων οὖν πάλιν καταφανές ἐστιν, ὅτι εἰ τὸ Οὐρβιναῖον ἀντίγραφον μὴ εἴχομεν, ὀκτάκις μὲν ἡ γραφὴ ἂν ἦν διορθωτέα ἐκ τῶν Διονυσίου ἀντιγράφων· ἐννάκις δὲ ἡ μὲν κοινὴ τῶν Ἰσοκράτους ἀντιγράφων γραφὴ ἀποδεκτέα, ἡ δὲ τῶν Διονυσίου ἀντιγράφων γραφὴ τοσαυτάκις ἀποδοκιμαστέα· μία δὲ γραφὴ ἐξ εἰκασίας διορθωτέα ἂν ἦν (παραγρ. ιη′ ὅ τι ἂν τύχῃ δὲ).

ΛΓ′ Τῶν δὲ διαφόρων γραφῶν ὧν ἐξηρίθμησα, δύο μόνον ἦσαν, ἐν αἷς καὶ τὸ περὶ τὴν σύγκρουσιν τῶν φωνηέντων παράγγελμα ἀναγκαῖον ἦν πρὸς τὸ κρῖναι, ποτέρα γραφὴ ἡμάρτηται· ἐν γὰρ τῷ δωδεκάτῳ παραδείγματι ἡ ἐν τοῖς Διονυσίου ἀντιγράφοις εὑρισκομένη γραφὴ ἡμαρτημένη ἐφάνη, διότι ἐν τῷ στέργειν τὸ ἴσον ἐναντίως τῇ Ἰσοκράτους συνηθείᾳ τὰ φωνήεντα συγκρούεται. καὶ αὕτη ἡ σύγκρουσις μόνη σαφὲς

σημεῖον τοῦ φανερῶς ἡμαρτῆσθαι τὴν γραφήν· ὅπερ γὰρ **Βησέληρος** φάσκει[α'], Ἰσοκράτη οὔποτε συντάξαι στέργειν αἰτιατικῇ, πλὴν ἅπαξ τῷ οὐδετέρῳ τῆς ἀντωνυμίας, ψευδὲς ὂν φαίνεται, ἐπειδὴ Ἰσοκράτης ἐν τῇ νς' παραγραφῇ τοῦ δεκάτου λόγου (ὃς ἐπιγράφεται Ἑλένη) τὸ στέργειν αἰτιατικῇ συνέταξε γράφων· καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσι φθονοῦμεν, ἢν μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ' ἑκάστην τὴν ἡμέραν προσαγάγωνται καὶ στέργειν σφᾶς αὐτοὺς ἀναγκάσωσιν. καὶ ἐν τῇ ρκζ' παραγρ. τοῦ πέμπτου λόγου· προσήκει . . . . ἐκείνην τὴν πόλιν στέργειν. ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ παραδείγματι τοὐναντίον ἐν τῇ Διονυσίου γραφῇ φωνήεντα οὐ συμπλήττεται ἀλλήλοις, ἀλλ' ἐπειδὴ φαίνεται τὴν τοῦ ὅ τι ἂν σύγκρουσιν Ἰσοκράτης, ὡς ἐξ ἄλλων παραδειγμάτων καταφανὲς, οὐκ ἀποδοκιμάσας, ἡ τῶν Ἰσοκράτους ἀντιγράφων γραφὴ ἀληθεστέρα κριτέα ἐστίν. **ΛΔ'**

Τοῖς οὖν παραδείγμασιν, οἷς ἐχρησάμην, ἱκανῶς οἶμαι ἐπιδεῖξαι, ὡς παντοίας διαφθορὰς καὶ μεταβολὰς ἐν τοῖς Ἰσοκράτους συγγράμμασιν οἱ μεταγράφοντες ἐποιήσαντο, ὥστε ἔμοιγε **Βησέληρος** ὀρθότατα τοῦτο διορίσαι δοκεῖ· „Ὅπου ἂν ἐν τοῖς Ἰσοκράτους συγγράμμασι σύγκρουσις τῶν φωνηέντων εὑρίσκηται, ἡ γραφὴ ἡμάρτηται“[β']. τοῦτο μόνον οὐχ ὁμολογῶ **Βησελήρῳ**, ὅπερ προστίθησιν· „ἢ τὰ γεγραμμένα οὐκ ἔστιν Ἰσοκράτους.“ ἐν τούτῳ γὰρ σφαλῆναί μοι δοκεῖ σφόδρα, ὅτι τούτῳ τῷ τεκμηρίῳ χρώμενος καὶ πλείους λόγους, οἳ ἐν τοῖς Ἰσοκρατείοις φέρονται, ἐξηρνήθη μὴ εἶναι τοῦ ῥήτορος τούτου· ἵνα γὰρ τό γε νῦν περὶ τῶν δικανικῶν σιωπῶ, ὁ πρὸς Δημόνικον λόγος, περὶ οὗ τὴν σκέψιν ποιεῖσθαι προειλόμην, διὰ τὰς ἐν αὐτῷ νῦν εὑρισκομένας συγκρούσεις τῶν φωνηέντων οὐδαμῶς ἐστιν ἀποδοκιμαστέος.

Οὐδὲ **Βλάσσιος**, ὃς τἆλλα **Βησελήρῳ** ὁμολογεῖ νόθον εἶναι τὸν λόγον, τὸ ἐκ τῆς συγκρούσεως τῶν φωνηέντων τεκμήριον πρὸς τὸ ἐπιδεικνύναι αὐτὸν οὐκ ὄντα Ἰσοκράτους ἱκανὸν εἶναι ἡγεῖται[γ']. Ἀλλ' ὥρα ἤδη τὰς συγκρούσεις ταύτας ἀκριβέστερον ἐξετάσαι τε καὶ ἐπιδεῖξαι, ὡς αἱ μὲν οὐκ ἐναντιοῦνται τῇ Ἰσοκράτους συνηθείᾳ, αἱ δ' ἐξαιρετέαι εἰσὶν ὡς σημεῖον τοῦ τὴν γραφὴν ἡμαρτῆσθαι, ὅπου ἄν τις αὐταῖς ἐντύχῃ. εἰσὶ δ' αἵδε[δ']· **ΛΕ'** **Λ5'**

α') ἐπανορθῶ. ὅσοι μὲν, παραγρ. γ'.
β') χρησιμωτέρα δὲ εὐγενείας, παραγρ. ζ'.
γ') ἠγάπα, ἀλλ', παραγρ. θ'.
δ') τοὺς περὶ αὐτὸν, παραγρ. ι'.
ε') καταριθμησαίμεθα. ἀλλά, παραγρ. ια'.
ς') ζῆν σε ὥσπερ, παραγρ. ια'.
ζ') διδόμενόν τι ἀγαθόν, παραγρ. ιη'.
η') τῷ δὲ λόγῳ εὐπροσήγορος, παραγρ. κ'.
θ') περὶ ἐκείνους, παραγρ. κδ'.
ι') μήτε ἄπειρος, παραγρ. κδ'.
ια') ὑπὸ οἴνου, παραγρ. λβ'.
ιβ') περὶ αὐτῶν, παραγρ. λγ'.
ιγ') τὰ δόξαντα. ἡγοῦ, παραγρ. λδ'.
ιδ') παρὰ δὲ ἡμῶν αὐτῶν, παραγρ. λδ'.
ιε') περὶ ὧν, παραγρ. λδ'.
ις') περὶ ἀλλοτρίου, παραγρ. λδ'.
ιζ') τὰ ἑαυτοῦ, παραγρ. λε'.
ιη') τὰ ἐκείνων, παραγρ. λς'.
ιθ') καὶ αὐτὸς, παραγρ. λζ'.
κ') δύνασθαι, ἀνέχου, παραγρ. λη'.
κα') τὸ ἴσον, παραγρ. λη'.
κβ') ὠφελεῖ, ἡ δὲ, παραγρ. λη'.
κγ') τῷ μὲν σώματι εἶναι, παραγρ. μ'.

α') Ἰανίου Χρονικ. φιλολογ. ἐκδοθ. ἔτει ,αωξ' ἤτοι τόμ. πβ'. σελ. ρκζ'.
β') Ἰσοκράτ. ἐκδ. Βησελ. προοιμ. σελ. α'.
γ') Περὶ τῶν Ἀττικῶν ῥητόρων, τόμ. β'. σελ. σνζ'.
δ') λέγω δὲ τὰς ἔτι εὑρισκομένας ἐν τῇ Βεκκήρου ἐκδόσει.

κδ') ὅ τι ἂν, παραγρ. μα'.
κε') περὶ ὧν, παραγρ. μα'.
κϛ') περὶ ὧν, παραγρ. μα'.
κζ') ἐνθυμοῦ δὲ ὅτι, παραγρ. μη'.
κη') παντὶ ἐλαττουμένους, παραγρ. μθ'.

ΛΖ' Εἰσὶ μὲν οὖν πᾶσαι αἱ φωνηέντων συγκρούσεις αὗται αἱ ἐν τῷ πρὸς Δημόνικον λόγῳ τὸν ἀριθμὸν ὀκτὼ καὶ εἴκοσιν· ἐὰν δέ τις θαυμάσῃ, ὅτι τοσαῦταί εἰσιν, ἐνθυμείσθω, ὡς ἐν τούτῳ τῷ ἀριθμῷ συμπεριειλημμέναι εἰσὶ καὶ αὗται, αἳ συνήθεις οὐ μόνον Ἰσοκράτει, ἀλλὰ καὶ τοῖς ποιηταῖς εἰσιν ἅτε οὐδὲν ἀλλόκοτον ἔχουσαι καὶ ἃς ἐκφυγεῖν ὀλίγου δεῖν ἀδύνατόν ἐστιν. δεῖ δὲ καὶ λογίσασθαι, ὅτι ἐν τοῖς ἄλλοις λόγοις οὐκ ἐλάττους
ΛΗ' ἔνεισιν, ἐάν τις, ὥσπερ ἐν τῷ πρὸς Δημόνικον ἐποίησα, ἁπάσας συμπεριλάβῃ. κἂν τὸ Εὐαγόρου ἐγκώμιον τῷ πρὸς Δημόνικον παραβάλωμεν, ἑπτὰ σελίσι καὶ τεταρτημορίῳ μακρότερον ὂν τούτου εὑρήσομεν, καὶ γὰρ ὁ μὲν πρὸς Δημόνικον λόγος ἐν τῇ Βησελήρου ἐκδόσει δώδεκα σελίδας περιέχει, τὸ δ' Εὐαγόρου ἐγκώμιον ἐννεακαίδεκα καὶ τεταρτημόριον· εὑρίσκονται δὲ φωνηέντων συγκρούσεις ἐν αὐτῷ τετταράκοντα, ὧν αἱ μὲν πλεῖσται ἐν τῇ περί προθέσει γιγνόμεναι οἰκεῖαι Ἰσοκράτει εἰσιν, ἔνιαι δὲ δυσχερέστεραι, ὡς ἢ ὑφ' ὧν, παραγρ. ϛ', σῶμα ἕν, παραγρ. λ'. πλεῖστα ἀγαθά, παραγρ. νγ' καὶ ἐξενεχθῆναι οἷόντ' ἐστίν, παραγρ. οδ', ὅπου Βησέληρος, ὃς δικαίως πάσας διορθωτέον εἶναι νομίζει, ἐξαιρεῖ τὸ ἐξενεχθῆναι.

ΛΘ' Εἰσὶ δὲ συγκρούσεις φωνηέντων ὑπὸ πάντων ὁμολογούμεναι οὐδὲν ἔχειν δυσχερὲς ἐν τῷ πρὸς Δημόνικον λόγῳ αἵδε· τῶν ἐξηριθμημένων αἱ δ', ζ', θ', ιβ', ιε', ιϛ', κδ', κε', κϛ'. ἐν πάσαις γὰρ ταύταις συγκρούεται περί ἢ τὶ φωνήεντι· ὅτι δ' αἱ τοιαῦται συγκρούσεις συνήθεις εἰσὶν Ἰσοκράτει, ῥᾷστόν ἐστι δεῖξαι καί, ἵνα τοὺς ἄλλους λόγους σιωπῶ, ἐάν τις ζητήσῃ παραδείγματα αὐτῶν, πλεῖστα ἐν τῷ Εὐαγόρου ἐγκωμίῳ[α'] εὑρήσει. Τῆς δὲ συγκρούσεως τῆς τὶ ἀντωνυμίας καὶ τοῦ ὅτι συνδέσμου πρὸς φωνῆεν ἑπόμενον παραδείγματα εὕροι τις ἂν Δ', με', ὥστ' εἴ τι ἐν τῷ πλησιάζειν, καὶ ἐν τῇ τοῦ ϛ' λόγου οδ' παραγρ. ὅ τι ἂν ἐχυρώτατον ᾖ, καὶ ἐν τῇ τοῦ ἑβδόμου λόγου πδ' παραγρ. ὅ τι ἂν ὑμῖν δοκῇ, καὶ ἐν τῇ τοῦ ὀγδόου λόγου ρλδ' παραγρ. καὶ ἐν τῇ τοῦ ιδ' λόγου
Μ' λζ' παραγρ. ἔτι δὲ πλείω ἔστιν εὑρεῖν ἐν τῷ Παναθηναϊκῷ, οἷον παραγρ. κδ', κε', οδ', ρϛ', σλε'. — Πασῶν οὖν τούτων τῶν συγκρούσεων, αἵ εἰσιν ἐννέα, ἀφαιρεθεισῶν, ὑπολείπονται μόνον ἐννεακαίδεκα, ὧν δεῖ αὖθις ἐξελεῖν πάσας, αἳ διὰ τῆς καλουμένης θλίψεως ἀναιροῦνται. δεῖ γὰρ γράφειν ἐν τοῖς ἐξηριθμημένοις παραδείγμασι β', χρησιμωτέρα δ' εὐγενείας, ϛ', ζῆν σ' ὥσπερ[β'], ι', μήτ' ἄπειρος, ια', ὑπ' οἴνου, ιδ', παρὰ δ' ἡμῶν, κζ', δ' ὅτι. καὶ ὅτι τοῦτον τὸν τρόπον πάσας τὰς συγκρούσεις, ὅπου θλίψει ἀναιρεῖσθαι δύνανται, πανταχοῦ ἐν τοῖς Ἰσοκράτους λόγοις ἀνελεῖν χρή, τό γε νῦν παντί που
ΜΑ' δῆλον. Ἱερωνύμου δὲ Βολφίου τοῦτο ποιεῖν ἀρξαμένου, Βεκκήρου δὲ πανταχοῦ τὴν ἀπόστροφον θέντος, ὅπου ἔστιν ἐν τῷ Οὐρβιναίῳ ἀντιγράφῳ, ἐπὶ τῆς νῦν ἡλικίας Βησέληρος ἐν μὲν τοῖς ἄλλοις λόγοις πανταχοῦ, ὅπου δυνατὸν ἦν καὶ τῇ Ἰσοκράτους συνηθείᾳ οἰκεῖον, θλίψει ἐχρήσατο[γ'], κἂν ἐν τοῖς παλαιοῖς ἀντιγράφοις ἡ θλῖψις παραμεληθῇ· ἐν δὲ τῷ

α') Οἷον περὶ αὐτόν, παραγρ. β'. περὶ αὐτῶν, παραγρ. γ'. περὶ αὐτῶν, παραγρ. ε'. περὶ ὧν, ζ'. περὶ αὐτάς, ι'. περὶ αὐτῶν, ια'. περὶ αὐτῶν, ιβ'. περὶ αὐτόν, κ'. περὶ οὗ, κα'. περὶ ὧν, κα'. περὶ αὐτοῦ, κα'. περὶ αὐτούς, κδ'. περὶ ἐκείνους, κε'. περὶ ἀμφοτέρων, λγ'. περὶ αὐτῶν, λδ'. περὶ αὐτοῦ, λθ'. περὶ αὐτῶν, μβ'. περὶ ἕν, μγ'. περὶ ἑνός, νβ'. περὶ αὐτῶν, νζ'. περὶ αὐτοῦ, οα'.

β') οὕτω τινὲς τὸ ἁμάρτημα διορθοῦν ἐβούλοντο· ἐγὼ δὲ προελοίμην ἂν γράψαι· σὲ ζῆν ὥσπερ, ὅπερ εὑρίσκεται ἔν τισι παλαιοῖς ἀντιγράφοις. (Ἰδὲ Βησελ. περὶ τῆς συγκρούσεως τῶν φωνηέντων, βιβλ. α'. σελ. μ'.)

γ') Ἰδὲ Βησελ. περὶ τῆς συγκρούσεως τῶν φωνηέντων, βιβλ. α'. σελ. θ'. καὶ ταῖς ἐφεξῆς.

πρὸς Δημόνικον λόγῳ μόνον, ὅπου ἐν τῷ Οὐρβιναίῳ ἀντιγράφῳ ἡ θλῖψις εὑρίσκεται,
τέθεικε τὴν ἀπόστροφον· οἰηθεὶς γὰρ τὸν λόγον τοῦ Ἀπολλωνιάτου εἶναι Ἰσοκράτους
ἀμφιγνοεῖ, εἰ ὁ ῥήτωρ οὗτος ὅσον πρὸς τὴν σύγκρουσιν τῶν φωνηέντων τοῖς τοῦ διδα-
σκάλου παραγγέλμασιν ἐνέμεινεν· ὅτι δὲ τοῦτο πλημμελεῖ, καὶ Σνείδηρος Βησελήρῳ
ἐπετίμησεν· εἰ γὰρ καὶ ὁ λόγος μὴ ἦν Ἰσοκράτους, ἀλλ' οὖν τοῦτό γε φανερὸν, ὅτι ὁ **ΜΒ'**
συνθεὶς αὐτὸν τὴν σύγκρουσιν τῶν φωνηέντων ἔφευγεν· εἰ γάρ τις ἐξέλοι ἐκ τοῦ λόγου
πάσας τὰς φωνηέντων συγκρούσεις, αἳ, ὥσπερ αὗται, περὶ ὧν διαλέγομαι, ἢ Ἰσοκράτει
συνήθεις εἰσὶν ἢ διὰ τῆς κράσεως καὶ θλίψεως ἁπλούστατα ἀναιροῦνται, πάνυ ὀλίγας
ὑπολειπομένας ἂν ἴδοι — αἳ καὶ αὐταὶ ἐξαιρεθεῖεν ἂν οὐ μετὰ πολλοῦ πόνου — ὅπερ
οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἀλλ' ἐξ ἐπιμελείας τοῦ συγγράψαντος γενέσθαι εἰκός ἐστιν.
Τούτων οὖν τῶν συγκρούσεων διὰ θλίψεως ἀναιρεθεισῶν ὁμοίως καὶ διοριστέον περὶ
τοῖν δυοῖν παραδειγμάτοιν, ἐν οἷν οἰκείως τῇ Ἰσοκράτους συνηθείᾳ, ᾗ καί πολλοὶ ἄλλοι
συγγραφῆς χρῶνται, διὰ κράσεως τὴν τῶν φωνηέντων συμπλοκὴν ἀνελεῖν χρή, ιζ' τὰ
ἑαυτοῦ, παραγρ. λε', καὶ ιη', τὰ ἐκείνων παραγρ. λς'. καὶ δὴ καὶ γραπτέον τἀκεί-
νων, ἐπεὶ τἀκεῖ, τἀκεῖνα καὶ ὅσα τοιαῦτα ἀεὶ οὕτω γράφεται ἐν τοῖς Ἰσοκράτους
λόγοις. τὸν δ' αὐτὸν τρόπον καὶ ὃ ἀναγιγνώσκεται παραγρ. λζ' καὶ αὐτός τῇ Ἰσο- **ΜΓ'**
κράτους συνηθείᾳ οὐκ ἐναντιοῦται. πολλὰ γὰρ παραδείγματα ἔστιν ἐν πᾶσι τοῖς λόγοις,
ἐν οἷς ὁ καί σύνδεσμος συγκρούεται φωνήεντι ἑπομένῳ[α']. καὶ δὴ καὶ τούτων ἀφαι-
ρεθεισῶν δέκα μόνον ὑπολείπονται, ὧν αἱ πλείους πράγματα οὐ παρέχουσιν. λέγω δὲ
ταύτας, αἳ καὶ αὐταὶ ῥᾷστ' ἂν ἐνεχθεῖεν ἅτε ἀληθῶς τῇ Ἰσοκράτους συνηθείᾳ οὐκ ἐναν-
τιούμεναι, τῶν φωνηέντων συγκρουόντων μὲν ἀλλήλοις, πάσης δὲ τῆς ἀηδίας τῆς ἐκ
τῆς συγκρούσεως ὀλίγου ἀφανιζομένης, διότι γίγνεται μεταξὺ δυοῖν κώλοιν ὥστε δια-
στίξει διαχωρίζεσθαι τὰ δύο φωνήεντα. τοιαῦταί εἰσιν ἐν τῷ πρὸς Δημόνικον λόγῳ
αἵδε· α') ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν κτλ. πα-
ραγρ. γ'. ε') καταριθμησαίμεθα. ἀλλὰ τὸ μὲν ἀκριβές κτλ. παραγρ. ια'.
ιγ') τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι κτλ. παραγρ. λδ'.

Ἐν πᾶσι δὴ τοῖς παραδείγμασι τούτοις ἡ σύγκρουσις διὰ τὰς προειρημένας αἰτίας **ΜΔ'**
οὐδὲν ἔχει ἀηδές. ὅτι δ' οὐκ ἐναντιοῦται τῇ Ἰσοκράτους συνηθείᾳ καὶ Βησέληρος συγ-
χωρεῖ[β'] καὶ καταφανές ἐστιν ἐκ πλειόνων παραδειγμάτων, ἃ ἐν τοῖς ἄλλοις λόγοις
Ἰσοκράτους εὑρίσκεται, οἷον Δ', οδ'· ἀνάγκη . . . μικρὰ δέ τινα παραλελεῖφθαι.
ὅμως δ' ἐκ τῶν ὑπολοίπων . . . οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν.
καὶ Β', λη'· ταῦτα τοῖς ἔργοις ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς
πράξεις. εἰ δέ τις λέγοι Ἰσοκράτη καθ' ὅλου καὶ ἐν τοῖς τοιούτοις τὴν τῶν φωνηέν-
των σύγκρουσιν ἐκφυγεῖν, πρὸς δὲ τούτοις καὶ θαυμάζειν, εἰ ἐν μικρῷ λόγῳ τρία ταύτης
τῆς συγκρούσεως παραδείγματα εὑρίσκεται, ἀποκριναίμην ἄν, ὅτι τοῦ πρὸς Δημόνικον
λόγου οὐχ ὁμοίως ἔχοντος ὅσον πρὸς τὸ μῆκος τῶν κώλων καὶ τὴν σύναψιν αὐτῶν,
ἀλλ' ἐκ συχνῶν βραχειῶν γνωμῶν ὡς ἐπὶ τὸ πολὺ συγκειμένου οὐ δεῖ θαυμάζειν, εἰ
οὕτω πλεονάκις τὰ φωνήεντα μεταξὺ δυοῖν κώλοιν συγκρούεται.

Οὐ μὴν οὐδὲ μάλ' ἐπίπονόν ἐστι καὶ πᾶσαν ἐξελεῖν ἀηδίαν καὶ ταῦτα μικρᾷ **ΜΕ'**
μεταβολῇ. γράψειε γὰρ ἄν τις ἐν τῇ γ' παραγρ. ἐγὼ δ' ἐπανορθῶ τοὺς φιλο-
σοφοῦντας. Ὅσοι μὲν οὖν κτλ. καὶ ἐν τῇ ια' παραγρ. εἰ πάσας καταριθμη-
σαίμεθα τὰς ἐκείνου πράξεις. ἀλλὰ τὸ μὲν κτλ. καὶ ἐν τῇ λδ' παραγρ. τὰ

α') Ἰδὲ Βησελ. Περὶ τῆς συγκρ. τῶν φων. βιβλ. α'. σελ. ξα'.
β') Περὶ τῆς συγκρούσεως τῶν φωνηέντων, βιβλ. α'. σελ. μς'.

δόξαντα. Πάντων ἡγοῦ κράτιστον εἶναι ἢ ὧδε· τὰ δόξαντα. Νόμιζε κράτιστον εἶναι κτλ. ὥστε τὸ νόμιζε ἀντὶ τοῦ ἡγοῦ τεθῆναι, ἴσμεν γὰρ τοὺς μεταγράφοντας ἐνίοτε καὶ λέξεις συνωνύμους ἀντ' ἀλλήλων καταλλάττοντας, ὥσπερ λόγ. Β' παραγρ. ν' ἐν τῷ Οὐρβιναίῳ εὑρίσκεται βασιλεύοντα ἀνθ' οὗ ἔχει τὰ καταδεέστερα ἀντίγραφα· τύραννον ὄντα. καὶ λόγ. Η' παραγρ. ϛ' ἐν τοῖς Διονυσίου ἀντιγράφοις, ὡς ἔστιν ἰδεῖν ἐκ τοῦ πίνακος, ὃν ἄνω σελ. ι' προέθηκα, εὑρίσκεται στέργειν τὸ ἴσον ἀνθ' ὧν ἔχει τὰ Ἰσοκράτους ἀντίγραφα· στέργειν τοῖς παροῦσιν. οὐδὲ τὴν ὀλίγων λέξεων μετάθεσιν, ᾗ Ἰσοκράτη χρῆσθαι οἶμαι, δικαίως ἄν τις δύναιτο αἰτιᾶσθαι ὡς ἐναντίαν οὖσαν τῇ τοῦ ῥήτορος χρήσει, καὶ γὰρ ἐπέδειξα Ἰσοκράτη ταύτῃ τῇ μηχανῇ χρώμενον, ἵνα ἐκφύγῃ τὴν τῶν φωνηέντων σύγκρουσιν, παραγρ. ΙΕ', σελίδ. ε'.

ΜϚ' Ὑπολείπονται δ' ἔτι ἐν τῷ πρὸς Δημόνικον λόγῳ ἑπτὰ συγκρούσεις φωνηέντων, περὶ ὧν ἤδη μοι λεκτέον ἐστίν. τούτων δ' ἡ μὲν ἐν τῇ λη' παραγραφῇ εὑρισκομένη ῥᾷστά θ' ἅμα καὶ ἀσφαλέστατα διορθοῦται· τῶν γὰρ ἀντιγράφων ἐχόντων· ἀνέχου δὲ τὸ ἴσον ἔχων τίς οὐκ ἂν συνίδοι, ὅτι γραπτέον ἐστίν· ἀνέχου δ' ἴσον ἔχων, ἐξαιρεθέντος τοῦ ἄρθρου; τοῦτο γὰρ ὅτι ὑπὸ τῶν μεταγραφόντων προσετέθη, φανερὸν, καὶ ἡ σύγκρουσις τῶν φωνηέντων ἐλέγχει τὴν γραφὴν, ὡς ἡμάρτηται· τὸ δ' αὐτὸ ἁμάρτημα ἤδη ἄνω ἐν τοῖς Διονυσίου ἀντιγράφοις ηὕρομεν, παραγρ. Δ', σελ. θ'. πρὸς δὲ τούτοις ἐξ ἄλλων λόγων Ἰσοκράτους μάθοι ἄν τις, ὅτι ὁ ῥήτωρ οὗτος λέγει ἴσον ἔχειν καὶ οὐ τὸ ἴσον ἔχειν. Ἰδὲ Ζ', ξθ'· τοῖς πολίταις ἴσον ἔχειν, ΙΖ', νδ'. οὐ μόνον

ΜΖ' ἴσον ἀλλὰ καὶ πλέον ἔχοντας. τὰ δ' ὑπόλοιπα ἓξ παραδείγματα, ἐν οἷς φωνήεντα συγκρούεται φωνήεσι, δεῖ καὶ αὐτὰ ἐξ εἰκασίας διορθοῦσθαι, ἐπειδὴ ἐν τοῖς ἀντιγράφοις ἡ ἀληθινὴ γραφὴ διέφθαρται, ὅτι δὲ διορθωτέον ἐστὶ, δῆλον παντὶ τῷ τὴν Ἰσοκράτους συνήθειαν εἰδότι. ἐστὶ δὲ τάδε· παραγρ. θ' οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα, ἀλλ' ἀπέλαυε κτλ. ὅπως δὲ τοῦτο διορθωτέον, σαφὲς, καὶ εἶδε καὶ Βλάσσιος, ὅτι Ἰσοκράτης ἔγραψεν· ἠγάπα παρακαίρως. καὶ σημειωτέον, ὅτι Ἰσοκράτης ἕνεκα τοῦ ἐκφεύγειν τὴν τῶν φωνηέντων σύγκρουσιν τὰ ἐπιῤῥήματα πολλάκις τίθησι μετὰ τὰ ῥήματα, οἷον ΙΒ', ρνζ'· προσῆκον αὐταῖς καὶ περὶ τῶν ἐχομένων βουλεύ-

ΜΗ' σασθαι καλῶς, εἰς τοῦτ' ἦλθον οὐκ ἀνοίας κτλ. — Παραγρ. κ'· τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἐνταῦθα Βλάσσιος μὲν οἴεται Ἰσοκράτη γράψαι· τῷ λόγῳ δ' εὐπροσήγορος. ἐγὼ δὲ προελοίμην ἄν· τοῖς μὲν τρόποις γίγνου φιλοπροσήγορος, τοῖς δὲ λόγοις εὐπροσήγορος. Ἰσοκράτης γὰρ ἐνίοτε πληθυντικῶς ἐκφέρει ἃ ἂν ἄλλοι τε ἀεὶ καὶ αὐτὸς πολλάκις ἑνικῶς ἐκφέροιεν, ὡς ἐπέδειξε Βησέληρος ἐν τῷ περὶ τῆς συγκρούσεως τῶν φωνηέντων α' βιβλ. σελ. ιβ'. πρὸς δὲ τούτοις τὰ τῶν τρόπων ἤθη εἶπεν Ἰσο-

ΜΘ' κράτης ἐν τῷ αὐτῷ λόγῳ παραγρ. δ'. — Παραγρ. λη' πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου δὲ κτλ. καὶ ταῦτα μεταθέσει τῶν ῥημάτων δεῖ ἰᾶσθαι καὶ γράφειν· δυνασθαι μὲν πλεονεκτεῖν, ἀνέχου δέ. ὁμοίᾳ δὲ ῥημάτων θέσει κέχρηται Ἰσοκράτης ἐν οἷς Β', λε' ἔγραψεν· τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. — Παραγρ. λη'· ὠφελεῖ δὲ, ἡ δέ. Βλάσσιος βούλεται τὴν τοῦ Οὐρβιναίου γραφὴν ἀναλαβὼν γράψαι τὰ δέ ἀντὶ τοῦ ἡ δέ, ὅπερ ἐγὼ σεσολοικίσθαι πέπεισμαι· οἶμαι δ' ἀντὶ τοῦ ὠφελεῖ γραπτέον εἶναι ὀνίνησιν, ἀνθ' οὗ οἱ μεταγράφοντες τὸ ὠφελεῖ, ὡς συνώνυμον ὂν, ἔθε-

Ν' σαν. περὶ δὲ τῶν τοιούτων μεταλλαγῶν εἶπον ἄνω ἐν τῇ ΜΕ' παραγρ. — Παραγρ. μ'· Πειρῶ τῷ μὲν σώματι εἶναι φιλόπονος, τῇ δὲ ψυχῇ φιλόσοφος. καὶ ἐνταῦθα ἡ Ἰσοκράτους συνήθεια ὑπὸ τῶν μεταγραφόντων ἠμελήθη· ὁ γὰρ ῥήτωρ ἔγραψεν·

Πειρῶ τῷ μὲν σώματι φιλόπονος εἶναι. — Παραγρ. μθ'. ἦ πού γε τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσωμεν; ἐν τούτοις τὸ ἁμάρτημα κεῖται μεταξὺ τῶν λέξεων· παντὶ ἐλαττουμένους· τίς δ' ἡ ἀληθινὴ γραφὴ ἀμφιγνοῶ· οἶμαι δ' ἢ πάντως ἀντὶ τοῦ παντὶ γραπτέον, ἵν' ἀντίστροφον ᾖ τῷ μόνον ἐπιῤῥήματι, ὃ Βέκκηρος ἐκ τοῦ Οὐρβιναίου ἀντιγράφου ἀνέλαβεν, ἢ παντὶ τῶν ἄλλων ἐλαττουμένους. συντάττεται δὲ καὶ παρ' Ἰσοκράτει τὸ ἐλαττοῦσθαι γενικῇ, ΙΕ', σπα'.

Οὕτω μὲν οὖν πάσας τὰς συγκρούσεις τῶν φωνηέντων τὰς ἐν τῷ πρὸς Δημόνικον λόγῳ ἢ τῇ Ἰσοκράτους συνηθείᾳ οὐκ ἐναντιουμένας ἐπεδείξαμεν ἢ ἀνείλομεν ἄνευ πολλοῦ πόνου καὶ ταῦτα ποιοῦντες οὐδὲν ἄλλο ἐποιήσαμεν ἢ ὃ Βησέληρος ἐν τοσαύταις συμπλοκαῖς τῶν φωνηέντων ἐν τοῖς ἄλλοις λόγοις ἐποίησεν. καὶ ὡς πολλὰ ἡμάρτηται τοιαῦτα ἐν τοῖς Ἰσοκράτους ἀντιγράφοις, ἐν τοῖς ἔμπροσθεν διὰ μακροτέρων ἐδηλώσαμεν. ἐκ δὲ τῶν τοιούτων, ἃ οἱ μεταγράφοντες ἡμαρτήκασιν, οὐκ ἔξεστι τεκμαίρεσθαι τὸν λόγον οὐκ εἶναι Ἰσοκράτους· εἰ γὰρ τοῦτ' ἐξῆν, πάντες οἱ ἄλλοι λόγοι οἱ Ἰσοκράτους νόθοι ἂν ἦσαν· ταὐτὰ γὰρ ἢ ὅμοια ἡμαρτημένα ἐν πᾶσιν εὑρίσκεται. Διὸ καὶ Βλάσσιος, ὃς τὸν λόγον τοῦ Ἀθηναίου Ἰσοκράτους οὐκ εἶναι νομίζει, ἐκ τῶν συγκρούσεων τῶν φωνηέντων ὅμως τοῦτο τεκμαίρεσθαι οὐκ οἴεται δεῖν [α']. ἔστι δ' ἄλλο τεκμήριον, ὃ πρὸς τὸ ἐπιδεῖξαι τὸν λόγον ὄντα νόθον ἱκανὸν εἶναι ἡγεῖται. Βησέληρος γάρ, ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐδήλωσα, πολλὰ ὀνόματά τε καὶ ῥήματα ἐκ τοῦ λόγου συνέλεξεν, ἃ φησιν Ἰσοκράτεια οὐκ εἶναι. ἔστι δὲ τάδε [β']· ἀβουλία, ἡ, παραγρ. λε'. ἀκιβδήλως, παραγρ. ζ'. ἀκούσιος, ον, παραγρ. κα'. ἀκοῦσμα, τὸ, παραγρ. ιβ' καὶ ιθ'. ἀόρατος, ον, παραγρ. κθ'. ἀπαιδευσία, ἡ, παραγρ. λγ'. ἀπεικάζω, παραγρ. ια'. ἀπεχθής, ές, παραγρ. κ'. ἀπόλαυσις, ἡ, παραγρ. κζ'. ἅρμα, τὸ, παραγρ. λβ'. αὐθάδης, ες, παραγρ. ιε'. αὐτεπάγγελτος, ον, παραγρ. κε'. ἀχαρίστως, παραγρ. λα'. βλάστημα, τὸ, παραγρ. νβ'. βραδέως, παραγρ. κδ' καὶ λδ'. γελοῖος, α, ον, παραγρ. λα'. γέλως, ὁ, παραγρ. ιε'. γλῶττα, ἡ, παραγρ. μα'. γραφεύς, ὁ, παραγρ. ια'. διαπεράω, παραγρ. ιθ'. δύσερις, ιδος, παραγρ. λα'. εἴκω, παραγρ. λα'. εἰλικρινής, ές, παραγρ. μς'. ἐνδέχομαι, παραγρ. μη'. ἔντευξις, ἡ, παραγρ. κ'. ἐξανίστημι, παραγρ. λβ'. ἔπακτος [γρ. ἐπακτός], ον, παραγρ. κγ'. ἐπιβάλλω, παραγρ. η'. ἐπιβλέπω, παραγρ. κα' καὶ λε'. ἐπιορκέω, παραγρ. κγ'. εὐθύνω, παραγρ. λβ'. εὐλαβέομαι, παραγρ. ιζ' καὶ λβ' καὶ μγ'. εὐορκέω, παραγρ. κγ'. εὐπροσηγορία, ἡ, παραγρ. κ'. εὐπροσήγορος, ον, παραγρ. κ'. ἐφάμιλλος, ον, παραγρ. ιβ'. ζηλωτής, ὁ, παραγρ. ια'. ἡνίοχος, ὁ, παραγρ. λβ'. θαρσαλέως, παραγρ. ζ'. θηρεύω, παραγρ. ις'. θησαυρός, ὁ, παραγρ. κθ'. θράσος, παραγρ. ιε'. θυμοῦμαι, παραγρ. με'. καθιζάνω, παραγρ. νβ'. κακοποιΐα, ἡ, παραγρ. κς'. καλλωπιστής, παραγρ. κζ'. καλοκαγαθία, παραγρ. ς' καὶ ιγ' καὶ να'. κατάδηλος, ον, παραγρ. μβ'. κατακρίνω, παραγρ. μγ'. καταριθμέομαι, παραγρ. ια'. κληρονομέω, παραγρ. β'. λήγω, παραγρ. ιδ'. μακράν, ἐπίῤῥ., παραγρ. α'. μανικός, ή, όν, παραγρ. ιε'. μαραίνω, παραγρ. ς'. μεγαλοπρεπής, ές, παραγρ. ι' καὶ κζ'. μέθη, ἡ, παραγρ. λβ'. μέλιττα, ἡ, παραγρ. νβ'. μιμητής, ὁ, παραγρ. β' καὶ ια'. μοχθηρός, ά, όν, παραγρ. λγ' καὶ λη'. οἰκονομέω, παραγρ. ε' καὶ μς'. ὄκνος, ὁ, παραγρ. ζ'. ὁμιλητικός, ή, όν, παραγρ. λ' καὶ λα'. παράγγελμα, τὸ, παραγρ. μδ'. παραίνεσις, ἡ, παραγρ. ε'. παρακαίρως, παραγρ. θ'. παραπήγνυμι, παραγρ. μς'. παραυτίκα, πα-

ΝΑ' ΝΒ' ΝΓ'

α') Περὶ τῶν Ἀττικῶν ῥητόρων. τόμ. β'. (Ἰσοκρ. καὶ Ἰσ.). σελ. σνζ'.
β') Ἰανίου Χρον. φιλολ. ἐκδ. ἔτει ,αωξ'. τόμ. πβ'. σελ. ρκδ'.

ΝΔ' ραγρ. ιζ'. παροξυντικός, όν, παραγρ. λα'. πέλαγος, τὸ, παραγρ. ιθ'. περίλυπος, ον,
παραγρ. μβ'. περιπατέω, παραγρ. μβ'. πλησμονή, παραγρ. κ' καὶ μς'. πολυμαθής,
ές, παραγρ. ιη'. προοράω, παραγρ. μ'. προπετής, ές, παραγρ. ιε'. προσζημιόω, παραγρ.
λγ'. προσμένω, παραγρ. κε'. προσφωνέω, παραγρ. κ'. προτρεπτικός, ή, όν, παραγρ.
γ'. προτρέχω, παραγρ. μα'. πῦρ, τὸ, παραγρ. κε'. σιγή, ἡ, παραγρ. μα'. σιτίζω,
παραγρ. κθ'. σκυθρωπός, όν, παραγρ. ιε'. συγγηράσκω, παραγρ. ζ'. συμβουλία, ἡ,
παραγρ. μδ'. συμμέτρως, παραγρ. λβ'. σύν, παραγρ. ις'. συνήθεια, ἡ, παραγρ. α'
καὶ β'. σύννους, ουν, παραγρ. ιε'. σφάλλομαι, παραγρ. λβ'. ταμιεῖον, τὸ, παραγρ.
μδ'. τερπνός, ή, όν, παραγρ. κα'. τέρψις, ἡ, παραγρ. ις' καὶ μς'. ὑλακτέω, παραγρ.
κθ'. ὑπηρέτης, ὁ, παραγρ. ς'. ὑπουργέω, παραγρ. λα'. φιλαίτιος, ον, παραγρ. λα'.
φιλεπιτιμητής, οῦ, παραγρ. λα'. φιληκοΐα, ἡ, παραγρ. ιη'. φιλομαθής, ές. παραγρ. ιη'.
φιλόνικος, ον, παραγρ. λα'. φιλοπροσηγορία, ἡ, παραγρ. κ'. φιλοπροσήγορος, ον, παραγρ.
κ'. φιλοχρημάτως, παραγρ. κγ'. χαρακτήρ, παραγρ. η'. ψόγος, ὁ, παραγρ. ζ' καὶ λγ',
καὶ μγ'.

ΝΕ' *Ταῦτ' οὖν ἐξαριθμήσας προστίθησιν· „εἰ οὖν καὶ ἀπὸ τοῦ στοιχείου Π, ὅθεν
τῆς ἐμῆς συλλογῆς ἐλλιποῦς οὔσης Μιχέλλου Λέξεσιν Ἰσοκρατείοις χρῆσθαι ἠναγκάσθην,
μίαν ἢ δύο λέξεις ἔδει ἐξαλεῖψαι, ἀλλ' οὖν ὅ γ' ἀριθμὸς οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπερβάλοι ἑκατόν· αὐξάνεται δ' ἔτι ὑπερφυῶς, εἴ τις ἐνθυμοῖτο ὀλίγας εὑρισκομένας παραγραφὰς τοῦ λόγου, ἐν αἷς οὐκ ἂν ἐντύχοι ῥήμασιν, ἃ ἐν τοῖς ἄλλοις Ἰσοκράτους λόγοις
διαφόρους σημασίας ἔχει ἢ ἄλλως συντάττεται ἢ σχηματίζεται.“*

Ν5' *Πρὸς ταύτην οὖν τὴν κατηγορίαν τί ἐροῦμεν;*

*Πρῶτον μὲν, ὅτι ἐν τῷ ἄνω καταλόγῳ τῶν μὴ Ἰσοκρατείων λέξεων, ὡς γοῦν οἴεται Βησέληρος, ἔνεισι καὶ πολλαὶ συνήθεις καὶ κοιναὶ πάντων τῶν Ἑλλήνων, καὶ αἳ καὶ τοῖς ἐπὶ τῶν ἐργαστηρίων καὶ τῶν καπηλείων ἀναγκαῖαί εἰσι, καὶ ὅτι γέλωτα οὖν παρέχει, εἰ ἐκ τῆς χρείας τῶν τοιούτων λέξεων βούλεται συλλογίσασθαι τὸν λόγον οὐκ εἶναι Ἰσοκράτους. ἢ οἴεται Βησέληρος Ἰσοκράτη ὡς ἀληθῶς ἀπέχεσθαι τῶν λέξεων τῶνδε· ἅρμα, ἀχαρίστως, γέλως, γελοῖος, γλῶττα, ἐπιορκεῖν, θησαυρός, θράσος; λήγειν, μέθη, μέλιττα, περιπατεῖν, πῦρ, σιγή, συνήθεια, ταμιεῖον, τερπνός, τέρψις, ὑλακτεῖν, ψόγος, καὶ τοσούτων ἄλλων, ὧν οὐδεὶς
ΝΖ' ἂν δύναιτο ἀπέχεσθαι. εἰ οὖν Βησέληρος καὶ οἱ ταὐτὰ ἐκείνῳ φρονοῦντες, οἴονται
Ἰσοκράτη τὰς προειρημένας λέξεις ἀποδοκιμάσαι, λεγόντων ἡμῖν, τίσιν ὀνόμασιν ὁ περίβλεπτος ῥήτωρ σημαίνοι ἂν τὸ πῦρ ἢ τὸν ψόγον ἢ τὸν γέλωτα, καὶ μυρία ἄλλα, ἃ οὐδ' ἄν τις βουληθεὶς ἄλλως εἴποι, εἰ τούτων τῶν κοινῶν πᾶσι τοῖς Ἕλλησι λέξεων ἀπέχεσθαι προέλοιτο; Λέγομεν δ' ὅτι τὸ τοιοῦτον οὐ μόνον ἀτοπώτατον, ἀλλὰ καὶ ἀδύνατόν ἐστιν. εἰ δ' ἐν τοῖς ἄλλοις Ἰσοκράτους λόγοις τὸ πῦρ καὶ τὸ ὑλακτεῖν καὶ ἄλλα τοιαῦτα μὴ εὑρίσκεται, τούτου οὐδὲν ἄλλο αἴτιον ἢ ὅτι οὐδεμία ἀφορμὴ ἦν τοῦ
ΝΗ' χρῆσθαι ταῖς λέξεσι ταύταις· εἰ γὰρ ἀφορμὴ ἦν, δῆλον ὅτι ἂν καὶ Ἰσοκράτης παραδείγματος ἕνεκα ἔγραψεν, ὅτι Προμηθεὺς τὸ πῦρ κλέψας ἔδωκε τοῖς ἀνθρώποις ἢ οἱ στρατιῶται πῦρ ἔκαον ἢ ὁ τῆς Ἑκάτης κύων ὑλάκτησε καὶ ὅσα τοιαῦτα. Ἐπειδὴ δ' ἐν τῷ πρὸς Δημόνικον λόγῳ ὁ ῥήτωρ πολλῶν πραγμάτων μέμνηται καὶ μάλιστα τῶν εἰς τὸν βίον τὸν τῶν ἰδιωτῶν συντεινόντων, ὧν ἐν τοῖς ἄλλοις λόγοις, ὅπου τοὺς λόγους ποιεῖται περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν πραγμάτων, μνησθῆναι οὐκ ἦν καιρός, οὐ δεῖ παράδοξον φαίνεσθαι, πολλὰς λέξεις ἐν τῷ πρὸς Δημόνικον λόγῳ εὑρίσκεσθαι, αἷς ἐν τοῖς ἄλλοις λόγοις χρῆσθαι καιρὸς οὐκ ἦν.*

Ἔπειτα πρὸς τὴν προειρημένην κατηγορίαν καὶ τοῦτο λεκτέον ἡμῖν ἐστιν, ὅτι ἐν ΝΘ'
τῷ πίνακι τῶν μὴ Ἰσοκρατείων λέξεων καὶ ἐνίας ἔγραψε Βησέληρος, ἃς ἡμεῖς ἐν τοῖς
Ἰσοκράτους λόγοις ηὕρομεν[α']. τοιαῦται δ' εἰσίν· εἰλικρινής, ᾧ ἐχρήσατο Ἰσοκράτης
ἐν τῷ ϛ' λόγῳ, παραγρ. πα', ἐπακτός (πλημμελῶς γράφει Βησέληρος ἔπακτος),
ᾧ ἐχρήσατο Ἰσοκράτης Γ', λζ'. ἐπιορκεῖν, λόγ. ΙΗ', νϛ'. ἔτι δ' ἐφάμιλλος, ὃ εὑρί-
σκεται πρὸς Δημ. παραγρ. ιβ' κοινὴ γραφή ἐστι Ε', ξη' καὶ Ι', κγ', ὅπου Βέκκηρος ἐκ
τοῦ Οὐρβιναίου ἀνέλαβεν ἐνάμιλλον, ἀλλ' εἰ ἠβουλήθη Βέκκηρος ἑαυτῷ συμφωνεῖν,
ἔδει αὐτὸν καὶ Α', ιβ' γράψαι ἐνάμιλλος, καθάπερ Βησέληρος τὴν γραφὴν ΙΔ', κγ'
εἶναι φανερὸν ὅτι διώρθωσε, παραβαλὼν τὰ Ἰσοκράτει ἄλλοθι ὁμοίως εἰρημένα,
ἃ ἐξηριθμήσαμεν ἄνω σελ. ε' ἐν τῇ β' σημειώσει. ὡσαύτως καὶ μεγαλοπρεπεστέρους Ξ'
κοινὴ ἀνάγνωσίς ἐστιν ΙΒ', σμβ', ὅπου Βέκκηρος ἐκ τοῦ Οὐρβιναίου ἀνέλαβε μεγαλο-
φρονεστέρους. τοῦτον δὲ τὸν τρόπον ἐξείη ἂν καὶ ἐν τῇ τοῦ πρὸς Δημόνικον λόγου
ι' παραγρ. γράψαι· ἀλλὰ φιλόκαλος ἦν καὶ μεγαλόφρων. — Κατακρίνειν δὲ,
ὃ ἐν τῷ πρὸς Δημ. εὑρίσκομεν, κοινὴ ἀνάγνωσις ἦν Κ', ϛ', ὅπου Βέκκηρος καταγιγνώ-
σκοντας ἀνέλαβεν ἐκ τοῦ Οὐρβιναίου, ὥστε καὶ ἐξεῖναι ἐν τῷ πρὸς Δημ., παραγρ. μγ'
γράψαι· τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέγνω.

Ἔτι δ' ἀτοπώτατον εἶναι οἶμαι τοῖς ῥήμασι τούτοις· ὀκνεῖν, παροξύνειν, ΞΑ'
προτρέπειν, σιγᾶν, συμβουλεύειν συνεχῶς Ἰσοκράτους χρησαμένου θαυμάζειν
ἐπὶ τοῖσδε· ὄκνος, παροξυντικός, σιγή, συμβουλία καὶ τὰς λέξεις ταύτας Ἰσο-
κράτους μὴ εἶναι κρῖναι. ἵνα δὲ Βλάσσιος, ὃς τούτῳ τῷ τεκμηρίῳ τῷ ἐκ τῶν μὴ
Ἰσοκρατείων λέξεων μάλα πεποιθὼς Βησελήρῳ συμφωνεῖ τὸν λόγον εἶναι νόθον, γιγνώ-
σκῃ, ὡς ἀσθενὲς, μᾶλλον δὲ μάταιόν ἐστι, λέγομεν, ὅτι, εἴ τις ἄμαχον αὐτὸ οἴεται,
ἀνάγκη αὐτὸν πάντας τοὺς Ἰσοκράτους λόγους ἀρνεῖσθαι μὴ εἶναι τοῦ ῥήτορος τούτου.
ἐν πᾶσι γὰρ λόγοις εὑρίσκονται λέξεις, αἷς ἅπαξ ἐχρήσατο ὁ ῥήτωρ, καὶ δὴ καὶ πολλὰς
ἂν τις εὕροι, αἷς καὶ οὐδεὶς τῶν ἄλλων συγγραφέων ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν ἐχρή-
σατο. καὶ τοῦτ' εἰκός· ἀναρίθμητον γὰρ τὸ πλῆθος τῶν ἐν τῇ Ἑλληνικῇ φωνῇ ὑπαρ- ΞΒ'
χουσῶν λέξεων ὥστε παντάπασιν ἀδύνατον εἶναι ἕνα ἄνδρα πάσαις χρῆσθαι καὶ πολ-
λάκις συμβαίνει μνημονεύεσθαί τι ὑπό τινος συγγραφέως, οὗ μεμνῆσθαι οὐδενὶ ἄλλῳ
καιρός ἐστιν. Δυναίμην οὖν ἂν μακρὸν κατάλογον τῶν καλουμένων ἅπαξ εἰρημένων λέ-
ξεων ποιεῖσθαι· οἴομαι δ' οὐκ εἶναι ἀναγκαῖον μακρολογεῖν καὶ ὀλίγαι ἀρκέσουσιν.

Οὕτως οὖν· ἄγαλμα εὑρίσκεται μόνον Θ', νζ'. ἀγγελία δὲ μόνον ΙΘ', μ'. ΞΓ'
ἀγελαῖος, ΙΒ', ιη'. ἀγένητος, Κ', η'. ἁγιστεία, ΙΑ', κη'. ἁγνεία, ΙΑ', κα'.
ἀγνωμόνως, ΙΕ', σκζ'. ἀγορά, Ζ', μη'. ἀγοράζειν, Β', νδ'. ἀγορεύειν,
ϛ', β'. ἄγριος, ΙΒ', ρκα'. ἄγροικος, Ε', πβ'. ἀγρυπνία, ΙΘ', κη'. ἀγχιστεία,
ϛ', ιη'. ἀγωνιᾶν, Δ', ϟα'. ἀδάκρυτος, ΙΘ', κζ'. ἀδακρυτί, ΙΔ', μζ'. ἀδελ-
φίζειν, ΙΘ', λ'. ἀδηφαγεῖν, ϛ', νε'. ἀδιεξέργαστος, Ε', ρθ'. ἀδιέργαστος,
ΙΒ', σξη'. ἁδρός, ΙΒ', ρι'. ἀήττητος, ϛ', θ'. ἀθρεῖν, Ε', μγ'. ἀθρόος, ΙΕ',
ρζ'. ἀθυμία, Ζ', νε'. αἰδώς, Ζ', μη'. αἱρεσθαι, Ἐπιστ. Α', θ'. αἴτησις, ΞΔ'
ϛ', λα'. ἀκαταστάτως, ΚΑ', ζ'. ἀκινδύνως, Ἐπιστ. Β', ιη'. ἀκοή, ΙΒ', ρν'.

α') ταύτης δὲ τῆς πλημμελείας οὐδὲ τὸ Μιχέλλου λεξικὸν τῶν Ἰσοκρατείων λέξεων αἰτιᾶσθαι ἔξεστι Βησελήρῳ· διότι Βησέληρος αὐτός φησι τῷ Μιχέλλου βιβλίῳ χρήσασθαι μόνον ἀπὸ τοῦ στοιχείου Π. ὅτι δ' ἐν τῷ Μιχέλλου λεξικῷ τῶν Ἰσοκρατείων λέξεων ἐλλείπει πολὺ πλῆθος ῥημάτων Ἰσοκράτει οἰκειοτάτων, ἑκουσίως ὁμολογῶ· καὶ γὰρ ἐγὼ πολλὰς λέξεις ἐν τῷ Μιχέλλου βιβλίῳ μάτην ἐζήτησα, οἷον· ἀγγελία (ΙΘ', μ'), ἀγορεύειν (ϛ', β'), ἄγριος (ΙΒ', ρκα'), ἀκούσιος (Α', κα'), ἀλαζονικός (ΙΕ', οε'), ἀνδρικός (ΙΓ', ιζ'), ἀποθνήσκειν (Β', λϛ'), ἀποκοπή (ΙΒ', σνθ'), ἀποτρέπειν (Β', μβ'), ἀριθμεῖν (ΙΒ', ρλα') καὶ ἄλλα πολλά.

ἀκολάστως, ΙΕ', σλθ'. ἀκόλουθος, ΙΕ', σογ'. ἀκουστός, Β', μθ'. ἀλαζονικός, ΙΕ', οε'. ἀλᾶσθαι, Δ', ρξη'. ἀλγηδών, Η', μ'. ἅλις, ΙΕ', οδ'. ἄλλοθι, ΙΒ', νδ'. ἀλογία, ΙΕ', ρξε'. ἅλς, Ι', ιβ'. ἀλυσιτελής, Η', λα'. ἀμάρτυρος, ΚΑ', α'. ἄμαχος, Ε', ρλθ'. ἀμιξία, Ϛ', ξζ'. ἀμφίβολος, ΙΒ', σμ'.

Ἀλλ' ἅλις τῶν τοιούτων, ὅλον γὰρ βιβλίον ἐμπλῆσαι ἂν δυνηθείην, εἰ πάσας βουληθείην ἐξαριθμῆσαι. αἱ δ' ἀπηριθμημέναι πολλοστὸν μέρος εἰσὶ τῶν ἀπὸ τοῦ α στοιχείου ἀρχομένων· ἔτι δ' ἐξέκλεισα αὐτῶν οὐ μόνον τὰ κύρια ὀνόματα, ἃ καὶ αὐτὰ πολλάκις ἅπαξ εὑρίσκεται, ἀλλὰ καὶ τὰς λέξεις, αἷς πλεονάκις, ἀλλὰ μόνον ἐν τῷ αὐτῷ λόγῳ ἐχρήσατο Ἰσοκράτης, ἃς Βησέληρος ἐν τῷ καταλόγῳ τῶν ἐν τῷ πρὸς Δημόνικον
ΞΕ' μὴ Ἰσοκρατείων λέξεων ἐξαριθμεῖ. ἴδοι δ' ἄν τις καὶ ἐξ ὧν ἐξηρίθμησα, ὅτι καὶ ἡ ἀγορὰ καὶ ἡ ἀκοὴ καὶ ὁ ἅλς καὶ ἄλλαι τοιαῦται ἀναγκαιόταται λέξεις ἐν τοῖς Ἰσοκράτους λόγοις ἅπαξ εἰρημέναι εὑρίσκονται. δυναίμην δὲ πολλὰς ἂν σελίδας ἐμπλῆσαι τῶν τοιούτων, εἰ βουληθείην τὰς ἐν ἑκάστῳ λόγῳ ἅπαξ εἰρημένας ἐξαριθμῆσαι· οὔκουν τοῦτο ποιήσω· αἱρήσομαι δ' ἕνα τῶν σμικροτάτων τὸ μῆκος λόγων, μᾶλλον δ' ἀπόσπασμα λόγου σωθὲν (τὰ γὰρ λοιπὰ ἀπώλετο), τὸν κατὰ τῶν σοφιστῶν λόγον. τὰ μὲν οὖν σωθέντα αὐτοῦ λείψανα ἐν τῇ Βησελήρου ἐκδόσει οὔπω πάσας ἓξ σελίδας ἀναπληροῖ ὥστε μηδ' ἥμισυ εἶναι τοῦ μήκους τοῦ πρὸς Δημόνικον λόγου. ἔτι δ' ὁ κατὰ τῶν σοφιστῶν λόγος πάνυ ἁπλῶς συγγέγραπται μιᾶς ὑποθέσεως αὐτῷ ὑποκειμένης οὐδ', ὥσπερ ὁ πρὸς Δημόνικον, παντοίαις πρὸς πάντα τὰ κατὰ τὸν βίον συμβαίνοντα ὑποθήκαις τε καὶ συμβουλίαις πεποίκιλται, καὶ ὅμως εὑρίσκονται ἐν αὐτῷ ὀκτωκαίδεκα λέξεις, αἷς ἐν τοῖς ἄλλοις λόγοις οὐ κέχρηται Ἰσοκράτης[α']).

ΞϚ' Ἔτι δὲ Βησέληρος πολλὰ ὀνόματά τε καὶ ῥήματα ἑτέρως συντετάχθαι τοῖς περὶ αὐτὰ ἢ ἕτερόν τι σημαίνειν ἢ ἃ σημαίνει παρ' Ἰσοκράτει φάσκων καὶ τοῦτο σημεῖον εἶναι νομίζει, ὅτι ὑποβολιμαῖός ἐστιν ὁ λόγος. τούτων δ' ὧν λέγει τὰ μὲν ψευδῆ, τὰ δὲ ὡς ἐπὶ τὸ πολὺ εὐτελῆ τυγχάνει ὄντα, οἷον ὅ τι γράφει περὶ τοῦ ἐξαλείφειν, ὅ φησιν ὑπ' Ἰσοκράτους λέγεσθαι μόνον ἐπὶ τῶν γεγραμμένων καὶ οὔποτε ἐπὶ τῆς φιλίας, ὥσπερ πρὸς Δημόν. παραγρ. α'. ἀλλὰ τὸ ἐξαλείφειν τετράκις μόνον ἐν τοῖς ἄλλοις λόγοις Ἰσοκράτους εὑρίσκεται. οὐ τοίνυν θαυμαστὸν, εἰ μεταφορικῶς ἄλλοθι τῷ ῥήματι μὴ ἐχρήσατο τῆς ἀφορμῆς ἐπιλιπούσης, ἐπεὶ ἄλλοι συγγραφῆς τὴν σημασίαν ταύτην ἔχουσιν.
ΞΖ' ὁμοίως δ' ἔχει τὰ ὑπὸ Βησελήρου καὶ κατὰ τοῦ ἀποστέλλειν λόγον, παραγρ. β', λεχθέντα· φησὶ γὰρ Ἰσοκράτη ἐπὶ προσώπων μόνον λέγειν τὸ ἀποστέλλειν· ἐπεὶ δὲ τῷ ῥήματι ἑξάκις μόνον ἐχρήσατο, τί θαυμαστὸν, εἰ μόνον ἐνταῦθα ἐπὶ λόγου λέγεται; ὅτι δ' Ἑλληνικωτάτη ἡ χρεία αὕτη ἐστὶ, μαρτυροῦσι πολλοί τ' ἄλλοι συγγραφῆς καὶ ῥήτορες τῷ ῥήματι οὕτω χρώμενοι καὶ Δημοσθένης, ὃς ἐπὶ νεὼς λέγει[β']), ΜΖ', ν', καὶ γνώμην ἀποστέλλειν λέγει[γ']), Ζ', ιθ'. ὡσαύτως δὲ καὶ συλλαμβάνειν, ὃ ἐν οὐδενὶ ἄλλῳ λόγῳ Ἰσοκράτους Βησέληρός φησιν εὑρίσκεσθαι σημαῖνον τὸ βοηθεῖν

α') Εἰσὶ δ' αἵδε· ἀπερισκέπτως, παραγρ. α'. προγιγνώσκειν, παραγρ. β'. ἀργυρίδιον, παραγρ. δ'. χρυσίδιον, παραγρ. δ'. μεσεγγυᾶσθαι, παραγρ. ε'. συνδιαβάλλειν, παραγρ. ια'. ἀνομοιότης, παραγρ. ιγ'. καταποικίλλειν, παραγρ. ιϛ'. εὐρύθμως, παραγρ. ιϛ'. ἀνδρικός, παραγρ. ιζ', δοξαστικός, παραγρ. ιζ'. ἐκτυποῦν, παραγρ. ιη'. ἀνθηρός, παραγρ. ιη', τελείως, παραγρ. ιη'. ἀναφύειν, παραγρ. ιθ'. λογίδιον, παραγρ. κ'. συμπαρακελεύεσθαι, παραγρ. κ'. συνασκεῖν. παραγρ. κα'.

β') ἀποστέλλειν διὰ τάχους δεῖ τὴν τριήρη. ἕως ἂν τὴν ναῦν ἀποστείλω. Παραβ. ΛΔ', κη'.

γ') τὴν γνώμην ἀπεστείλατε.

παρὰ πολλοῖς ποιηταῖς τε καὶ συγγραφεῦσι ταύτην τὴν σημασίαν ἔχει[α']. ὅτι δὲ τὸ ἐπανορθοῦν (παραγρ. γ') καὶ παρ' Ἰσοκράτει ἐπὶ προσώπων λέγεται, ὁμολογεῖ καὶ Βησέληρος· ὅτι δ' ἡ σημασία πολὺ διαφέρει, ὡς ὁ αὐτός φησιν, οὐχ ὁρῶ οὐδὲ Η', ρλγ', ὅπου εὑρίσκεται· ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως, ἄλλην σημασίαν ἔχει ἢ ὅταν λέγῃ· τοὺς φιλοσοφοῦντας ἐπανορθῶ.

Ὃ δ' ἐν τῇ δ' παραγραφῇ ἀναγιγνώσκεται καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, ΞΗ'
τοῦτο Βησέληρος ἡγεῖται παντάπασιν ἐναντιοῦσθαι τῇ Ἰσοκράτους συνηθείᾳ, ὅτι οὗτος ὁ ῥήτωρ τὸ ἐπιχειρεῖν δοτικῇ καὶ οὐκ αἰτιατικῇ συντάττει. καλῶς δ' ἤδη Σνείδηρος ἀπελογήσατο ὑπὲρ τῆς χρείας ταύτης δεικνύων, ὅτι οὐδὲν ἀλλόκοτον ἔχει ἡ σύνταξις· τὸ γὰρ ἔργον ἐπιχειρεῖν τὸν αὐτὸν τρόπον λέγεται, ὅνπερ παρὰ Πλάτωνι (Κριτ. σελ. με', Γ)· δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα· εὑρίσκεται δὲ καὶ ἄλλα παραδείγματα τῆς συντάξεως ταύτης, οἷον πολιτείαν ἐπιχειρεῖν (Πλάτ. Νόμ. Ε' σελ. ψλθ', Ε) καὶ λόγους ἐπιχειρεῖν (Πλάτ. Ἐπιν. σελ. ϡπ', Γ[β']). ἐνταῦθα δ' Ἰσοκράτης τῇ σπανιωτέρᾳ συντάξει χρώμενος τὸ ἐπιχειρεῖν αἰτιατικῇ συνέταξεν, ὅτι δοτικῇ χρώμενος τὰ φωνήεντα ἂν συνέκρουσεν. καὶ οὐδὲν ὄφελος ὧν Βησέληρος διέξεισι κατὰ Σνει- ΞΘ'
δήρου λέγων Ἰσοκράτη ἐν τοῖς ἄλλοις λόγοις τὸ ἐπιχειρεῖν δοτικῇ συντάξαντα ὅμως φυλάξασθαι τὰ φωνήεντα συγκρούειν. ἐν πᾶσι γὰρ τοῖς ἄλλοις παραδείγμασιν, οἷς παρατίθεται[γ'], τῷ πληθυντικῷ ἀριθμῷ Ἰσοκράτης ἐχρήσατο· τῆς δὲ δοτικῆς τοῦ πληθυντικοῦ οὐ ληγούσης εἰς φωνῆεν τὰ φωνήεντα συγκρούεσθαι ἀδύνατον ἦν. ὅτι δὲ Κοραῆς παλαιοῖς τισιν ἀντιγράφοις πεπεισμένος πρὸς τὸ καλὸν μὲν ἔργον ἐπιχειροῦσιν προσέθηκε τὸ ποιεῖν, καὶ τοῦτ' ἀποδεξαίμην ἂν ἡδέως. πυκνὰ γὰρ Ἰσοκράτης τὸ ἐπιχειρεῖν συντάττει ἀπαρεμφάτῳ[δ'].

Ἐν δὲ τοῖς ἑξῆς Ἰσοκράτους λέγοντος· τὰ τῶν τρόπων ἤθη σπουδαῖοι Ο'
πεφυκέναι δόξουσι, Βησέληρος ψέγει τὴν λέξιν τὰ τῶν τρόπων ἤθη καὶ ὅλως Ἰσοκράτη ἐπίθετα αἰτιατικῇ συντάττειν οὔ φησι. τοῦτ' οὖν ἓν τῶν πολλῶν ὧν οὐκ ἀκριβῶς ἐξετάσας ἐπλημμέλησε Βησέληρος, τὸν γὰρ Ἰσοκράτη αἰτιατικὴν συντάττοντα ἐπιθέτοις ἐπιδείκνυσιν ἤδη ἃ λέγει ἐν τῇ τοῦ ἐννάτου λόγου μα' παραγρ. πρῶτον μὲν εὐφυέστατος ὢν τὴν γνώμην καὶ πλεῖστα διορθοῦν δυνάμενος, καὶ Δ', λγ'· δωρεὰν τοσαύτην τὸ μέγεθος. καὶ Γ', γ'· ἀπείρων τὸ πλῆθος, καὶ ΙΕ', σνζ'· τηλικούτων τὸ μέγεθος ἀγαθῶν, καὶ ἄλλα τοιαῦτα. ὅτι δὲ τὰ τῶν τρόπων ἤθη οὐδὲν ἔχει ἀλλόκοτον, ἐπέδειξε Σνείδηρος τοῖς παραδείγμασιν οἷς ἐκ Πλάτωνος παρατίθεται, Νόμ. Ϛ', σελ. ψογ', Β. ΙΑ', σελ. ϡλ', Α. ΙΒ', σελ. ϡξη', Δ. καὶ Σάνδυς ὁμοίους πλεονασμοὺς ἐν τοῖς ἄλλοις λόγοις εὑρισκομένους κατανοήσας ὀρθῶς καὶ τοῦτο λέγει Ἰσοκράτη ἐνταῦθα τῇ συντάξει ταύτῃ χρήσασθαι, ἵν' ἀποδιδοίη τὰ τῶν τρόπων ἤθη τῇ δεινότητι τῇ ἐν τοῖς λόγοις.

Ἀλλοκότως δὲ δοκεῖ εἰρῆσθαι Βησελήρῳ καὶ τὰ ἐχόμενα, παραγρ. ε'· διόπερ ΟΑ'
ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. τοῦ γὰρ μεταβῆναι ἀπὸ τῆς φάσεως (ὧν χρὴ) εἰς τὴν πυσμα-

---

α') Αἰσχύλ. Χοηφ. ϡιβ'. Ἀριστοφ. Λυσιστρ. φμ', Ἐκκλης. ωμα'. Ξενοφ. Κύρου Παιδ. Γ', α', κη'. καὶ ἄλλοθι.
β') Παραβ. καὶ Ἡροδ. Ε', μϛ'.
γ') Ἐστὶ δὲ τάδε· Δ', ρλβ' (τοιούτοις ἔργοις ἐπιχειρεῖν), ρογ'. Ε', ιη'. Η', ϡα'. Θ', λη'. ΙΕ', πε', σκε'. Κ', ϛ'. Ἐπιστ. ϛ', ιβ'. Θ', ιη'.
δ') ὡς Η', κζ' (τὸν ἐπιχειροῦντα δημηγορεῖν). παραγρ. μϛ'. νϛ'. οα'. ρλη'.

τικὴν σύνταξιν (*τίνων ἔργων*) παράδειγμα οὐκ ἂν εὑρεθῆναι ἄλλο ἐν τοῖς Ἰσοκράτους λόγοις φησὶ Βησέληρος. τὰ γὰρ ὑπὸ Σνειδήρου παρατεθέντα ἐξ Εὐαγόρ. παραγρ. ιβ', ὡσαύτως ὡς τὼ δύο ἄλλω παραδείγματε ΙΕ', ροη' καὶ Η', ε', ἀνόμοιά ἐστι τοῖς προκειμένοις· ἐμοὶ δ' ὁμοιότερα εἶναι δοκεῖ ἃ γέγραφεν Ἰσοκράτης Ἐπιστ. Ζ', γ'· *χρὴ ζητεῖν καὶ φιλοσοφεῖν, ἐξ ὅτου τρόπου καὶ μετὰ τίνων καὶ τίσι συμβούλοις χρώμενος τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις κτλ.* Ἐνταῦθα γὰρ τὸ *ὅτου* ἀναφορικῆς μᾶλλον ἢ πυσματικῆς ἀντωνυμίας τάξιν ἔχον ἀνταποδίδωσι τῇ πυσματικῇ ἀντωνυμίᾳ *τίς*. καὶ παντάπασι παραπλήσια ἂν εἴη ταῦτα τῇ περιόδῳ τῇ ἐκ τοῦ πρὸς Δημόν., περὶ ἧς διαλέγομαι, εἰ γράψειέ τις *ὧν τινων χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι* ἀντὶ τοῦ *ὧν χρὴ τοὺς νεωτέρους κτλ.* καὶ τοπάζω Ἰσοκράτη οὕτω γράψαι.

ΟΒ' Οὐ μὴν ἀλλὰ καὶ τὰ ἐν τοῖς ἀντιγράφοις παραδεδομένα Ἑλληνικά ἐστιν, ὡς ἔστι κατιδεῖν ἐκ τοῖν δυοῖν παραδειγμάτοιν τοῖν ὑπὸ Σνειδήρου παρατεθέντοιν· Θουκυδ. Α', ρλζ'. *φράζει, ὅστις ἐστὶ καὶ δι' ἃ φεύγει.* καὶ Λουκιανοῦ Νεκρ. Διαλ. ΚΖ', α'· *ὀψόμενοι οἷοί τέ εἰσι καὶ τί ἕκαστος ποιεῖ.* — Ἐν δὲ τῇ Ϛ' παραγρ. Βησέληρος Ἰσοκράτειον οὐκ εἶναι οἴεται τὸ ἀναλίσκειν σημαῖνον διαφθείρειν· ἐπεὶ δὲ τὸ ἀναλίσκειν παρ' Ἰσοκράτει ἔτι εὑρίσκεται μόνον Η', ξζ' περὶ τῶν λόγων, καὶ ΙΕ', ροθ' περὶ τοῦ χρόνου, ἐξείη ἂν πρὸς τὴν κατηγορίαν ταὐτὰ λέγειν, ἅπερ ἤδη καθ' ὅλου ἄνω περὶ τῶν λέξεων τῶν διαφόρους σημασίας ἐχουσῶν καὶ οὐ πάνυ ἐν χρείᾳ οὐσῶν. ταὐτὰ δὲ λεκτέον καὶ περὶ ὧν ἐπιτιμᾷ Βησέληρος ἐν τοῖς ἑξῆς ταῖς ῥήσεσι ταῖσδε· Παραγρ. θ'. *τὸ σῶμα τοῖς πόνοις ἐγύμναζε* καὶ παραγρ. κα'· *γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις*, φησὶ γὰρ Ἰσοκράτη εἰωθέναι λέγειν *γυμνάζεσθαι ἐπὶ τῶν ἔργων* (Β', λε') ἢ *ἐν τούτοις* (Ε', ρνβ'., ΙΕ', σξε') ἢ περί τι, (Ι', ε'. ΙΒ', σκθ'. ΙΓ, ιδ', ιζ'. ΙΕ', ρπζ' καὶ ϡε'.) Ἀλλὰ τί ἐμποδίζει Ἰσοκράτη μὴ πρὸς τούτοις ἔτι συντάττειν τὸ γυμνάζειν δοτικῇ, ἐπεὶ ἄλλοι συγγραφῆς ταὐτὸ ποιοῦσιν;

ΟΓ' Ὡς δὲ πάντα ταῦτα παντάπασιν οὐδὲν ἐπιδεῖξαι ἱκανά ἐστι, δῆλον καὶ ἐξ ὧν Βησέληρος λέγει περὶ τῆς συντάξεως τοῦ *λέγειν* ῥήματος (παραγρ. θ'). φάσκει γὰρ παρ' Ἰσοκράτει ἀεὶ ἐν χρείᾳ εἶναι *λέγειν πρός τινα* καὶ *λέγειν κατά τινος* καὶ οὐδαμῶς *λέγειν τινί*. καὶ διὰ ταύτην τὴν αἰτίαν οὐκ εἶναι Ἰσοκράτεια οἴεται τὰ εὑρισκόμενα παραγρ. θ'. *τῶν ὑπ' ἐμοῦ σοι λεγομένων* καὶ παραγρ. κβ'. *περὶ τῶν ἀποῤῥήτων μηδενὶ λέγε.* Ἀλλ' ὅτι ἐξηπατήθη Βησέληρος, ὥσπερ καὶ Βλάσσιος, ὃς Βησελήρῳ τοῦτο ὁμολογεῖ[α'], ἔστι συλλογίσασθαι ἐκ τῶν λόγων αὐτῶν τῶν Ἰσοκράτους. Εὑρίσκομεν γὰρ λόγ. ΙΖ', παραγρ. κγ' τάδε· *τί ἂν ὑμῖν τὰ πολλὰ λέγοιμι;* καὶ παραγρ. κδ' *ἅπανθ' ὑμῖν εἴρηκα.* Πρὸς δὲ τούτοις ἡ σύνταξις τοῦ *λέγειν τινί* οὕτω κοινή ἐστι πάντων Ἑλλήνων, ὥστε μηδένα δύνασθαι συνιέναι, διὰ τί Ἰσοκράτης παντάπασιν ἀπέχεσθαι αὐτῆς ἂν προέλοιτο.

ΟΔ' Ἔψεξε δὲ καὶ ὡς οὐκ οὔσας Ἰσοκρατείους Βησέληρος τὰς ῥήσεις τάσδε· *τὸ ἀκριβὲς αὐτῶν* παραγρ. ια'. ἀλλ' ἐπειδὴ τὸ *ἀκριβὴς* καθ' ὅλου σπανίως εὑρίσκεται ἐν τοῖς Ἰσοκράτους λόγοις, οὐ δεῖ θαυμάζειν, εἰ ἡ αὐτὴ σύνταξις τοῦ ῥήματος ἐν ἄλλοις λόγοις μὴ εὑρίσκεται. ὅτι δὲ Βησέληρος τὸ *οὕτω τὴν γνώμην διατεθῆναι* (παραγρ. ιβ') οὔ φησιν Ἰσοκράτους εἶναι, ἀλλὰ μόνον τὸ *οὕτω τὴν γνώμην διακεῖσθαι*, οὐχ ὁρῶ, διὰ τί Ἰσοκράτη οὐ βούλεται ἐᾶν τῷ ἀορίστῳ χρῆσθαι ῥήματος, οὗ τῷ παρακειμένῳ ἐχρήσατο καὶ οὗ ὁ ἀόριστος συνηθέστατός ἐστιν οὐ μόνον τοῖς

α') Περὶ τῶν Ἀττικῶν ῥητόρων, τόμ. β'. σελ. ρκζ'.

ἄλλοις συγγραφεῦσιν ἀλλὰ καὶ Ἰσοκράτει αὐτῷ. εὕροι γάρ τις ἂν διατεθῆναι Β', μδ'. Η', οθ', ΙΔ', λζ'. ΙΕ', μδ'. καὶ ἀλλαχοῦ. Ἐν δὲ τοῖς ἑξῆς, παραγρ. ιβ', Βησέληρος ψέγει τὸ πληροῦσθαι ἀκουσμάτων, φάσκων Ἰσοκράτη μόνον ἐπὶ νεῶν εἰπεῖν τὸ πληροῦν, ἀλλὰ τοῦτο πάνυ ὅμοιόν ἐστιν οἷς ἐπιτιμᾷ τῷ ἀναλῶσαι. ἐπεὶ γὰρ Ἰσοκράτης τῷ πληροῦν τετράκις μόνον ἐχρήσατο ἐν τοῖς λοιποῖς λόγοις, τί θαυμαστὸν τὴν αὐτὴν σημασίαν, ἣν ἔχει ἐν τῷ πρὸς Δημόνικον λόγῳ, οὐχ εὑρίσκεσθαι ἀλλαχοῦ; Ψέγει δὲ Βησέληρος καὶ ὅπερ ἐστὶ παραγρ. ιγ' τῆς τῶν τρόπων καλοκαγαθίας, ΟΕ′ τῆς ῥήσεως ταύτης οὐκ οὔσης Ἰσοκρατείου, ὥς φησιν· ἀλλ' εἰ καὶ τὸ προσηγορικὸν ἡ καλοκαγαθία μὴ εὑρίσκεται παρ' Ἰσοκράτει ἀλλαχοῦ, τό γε ἐπίθετον οἱ καλοὶ κἀγαθοὶ αὐτῷ οὐκ ἀλλότριόν ἐστιν, ὡς ἔστιν ἰδεῖν ἐκ Γ', μγ'. Ϛ', λε'. Ζ', οβ'. Θ' να'. ΙΑ', λβ'. ΙΓ' ς'. ΙΕ', ϟε'. ρ'. ρλη'. σμγ'. Ψέγει δὲ Βησέληρος καὶ τὰ ὀνόματα τὸ δαιμόνιον καὶ τὴν αἰσχύνην, παραγρ. ιγ', λέγων τὸ δαιμόνιον τὸ θεῖον καθ' ὅλου, ἀλλ' οὐ θεόν τινα σημαίνειν, τὴν δ' αἰσχύνην ἀντὶ τῆς αἰδοῦς ὑπ' Ἰσοκράτους οὐ λέγεσθαι. ἔτι δ' αὐτῷ δυσαρέσκει τὸ κρύπτειν, παραγρ. ιζ', ὅτι Ἰσοκράτης, φησὶν, ἀλλαχοῦ παθητικῶς χρῆται τῷ ῥήματι. καὶ τὸ μηδένα θεὸν ὀμνύναι, παραγρ. κγ'. οὐ γὰρ εἶναι Ἰσοκράτει οἰκεῖον θεὸν προσθεῖναι πρὸς τὸ ὀμνύναι. Ἀλλὰ πρὸς πάντα ταῦτα λεκτέον, ὅπερ καὶ ἄνω εἶπον. Ἀδύνατον γὰρ συγγραφέα ἀεὶ τὰς αὐτὰς σημασίας τῶν ῥημάτων ἐπαναλαβεῖν καὶ μὴ ποικίλλειν αὐτὰς κατὰ τὴν ἐξουσίαν, ἣν συγχωρεῖ ἡ κοινὴ συνήθεια. Καὶ ὅτι Βησέληρος τοὐναντίον αἰτῶν πολλάκις φαίνεται ἐξαπατῶν ἑαυτὸν, τούτου ἤδη παραδείγματα παρέσχομεν. Ὅμοια δ' ἔτι ἐστὶν, ἃ ΟϚ′ σημειοῦται παραγρ. ιε' λέγων, ὅτι Ἰσοκράτης τὸ στέργειν οὔποτε συνέταξεν αἰτιατικῇ. ὡς δὲ ψευδὲς τοῦτ' ἔστιν, ἐπέδειξα ἄνω παραγρ. ΛΓ', σελ. ια', παραθέμενος ἐξ Ἰσοκράτους δύο παραδείγματε (Ε', ρκζ' καὶ Ι', νς'), ἐν οἷν ὁ ῥήτωρ αἰτιατικῇ συνέταξεν. Ἔτι δὲ φανερώτερον πλημμελεῖ Βησέληρος φάσκων (πρὸς παραγρ. κβ') Ἰσοκράτη μόνον τῷ ἐνεργητικῷ ῥήματι τῷ παρέχειν χρῆσθαι, λέγοντα οὕτως, οὐ παρέχεσθαι. Ἀλλ' εὑρίσκεται τὸ μέσον ῥῆμα τὸ παρέχεσθαι πολλάκις παρ' Ἰσοκράτει, οἷον Ϛ', λβ'. Καίτοι πῶς ἂν τις μαρτυρίαν μείζω καὶ σαφεστέραν τούτων παράσχοιτο; καὶ Ι', ξγ'· καὶ τούτοις ἔχω τὴν πόλιν τὴν Σπαρτιατῶν .... ἔργῳ παρασχέσθαι μαρτυροῦσαν, καὶ ΙΖ', λβ'· αὐτὸν Ἀγύῤῥιον μαρτυροῦντα παρέξομαι καὶ ΙΖ', λη' καὶ ΙΖ', μ'. καὶ ΙΒ', ν'. καὶ ΙΗ' η'. κβ'. νζ'.

Ἐν δὲ τῇ ις' καὶ ἐν τῇ μδ' παραγρ. Βησέληρος τὸ συνειδήσεις καὶ εἰδήσω οὐχ ὅπως Ἰσοκράτειον, ἀλλ' οὐδ' Ἀττικὸν εἶναι φάσκει· ὀρθῶς δ' ἤδη Σνείδηρος τῷ μέλλοντι τούτῳ χρησάμενον ἐπέδειξεν Ἰσοκράτη τοῦ ὁμοιοτελεύτου ἕνεκα (λήσειν — συνειδήσεις καὶ εἰδήσεις — εὑρήσεις)· πρὸς δὲ τούτοις τοῦ μέλλοντος τοῦ ῥήματος τοῦ εἰδέναι οὐ πολλὴ χρεία ἐστί· τὸ δ' εἰδήσω οὐ μόνον παρ' Ὁμήρῳ καὶ Ἡροδότῳ εὑρίσκεται, ἀλλὰ καὶ παρ' Ἀριστοτέλει, Μέγ. Ἠθ. Α', α', γ'. ιη'. φαίνονται δὲ καὶ οἱ Ἀττικοὶ ἐνίοτε λέξεις Ἰαστὶ ἐσχηματισμένας τοῖς λεγομένοις ἐγκαταμίξαντες, ὡς δὴ καὶ Ἰσοκράτης αὐτὸς ἐχρήσατο τῷ ἔτλησαν καὶ τῷ φήμη, ἃ Ἰωνικὰ καὶ ποιητικά ἐστιν οὐχ ἧττον τοῦ εἰδήσω[α']. τῷ δὲ μέλλοντι εἴσομαι ἐχρήσατο Ἰσοκράτης ΙΓ', γ' καὶ ΙΘ', β'.

α') Ἀπέφηνε τοῦτ' ἤδη Ἀριστοτέλης, Τέχν. ῥητορ. Γ', ζ', γράφων· „καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαίνοις ἢ ψόγοις ἢ ὀργῇ ἢ φιλίᾳ, οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ πανηγυρικῷ ἐπὶ τέλει »φήμη δὲ καὶ γνώμη« καὶ »οἵ τινες ἔτλησαν·« φθέγγονταί τε γὰρ τοιαῦτα ἐνθουσιάζοντες, ὥστε καὶ ἀποδέχονται δῆλον ὅτι ὁμοίως ἔχοντες.“ εὑρίσκεται δὲ καὶ ἄλλα τοιαῦτα παρ' Ἰσοκράτει, οἷον τὸ ἐπικυδέστερος, Δ', ρλθ'.

OZ' Παραγρ. κδ' τεκμήριον τοῦ νόθον εἶναι τὸν λόγον Βησέληρος εὑρεῖν νομίζει ἐν τῷ θέλε. κατὰ γὰρ ἃ αὐτὸς (πρὸς Ἀρεοπαγιτ. σελ. σνζ' — σξβ') διωρίσατο, Ἰσοκράτης μόνον τῷ ἐθέλειν χρῆται, οὗ ἀφαιρεῖται τὸ πρῶτον στοιχεῖον ε φωνήεντος προϊόντος, ἡ δ' ἀπόστροφος ἀντὶ τοῦ ἀφαιρεθέντος φωνήεντος τίθεται. καὶ τοῦτον τὸν κανόνα Βησέληρος ἐπιδεῖξαι πειρᾶται πολλοῖς παραδείγμασι χρώμενος· ἐπειδὴ δ' οὔτ' ἐν τοῖς τῶν ἄλλων ῥητόρων λόγοις οὔτ' ἐν τοῖς Ἰσοκρατείοις οὐδὲν παράδειγμα τῆς προστακτικῆς ἔθελε ἢ θέλε εὑρεῖν ἠδυνήθη, τὴν Σνειδήρου γνώμην ἀποδέχομαι φάσκοντος τὸ ἔθελε, εἰ καὶ Ὅμηρος αὐτῷ ἐχρήσατο, φυγεῖν τοὺς Ἀττικούς· οἶμαι δὲ καὶ τὸ θέλε καὶ τοπάζω γραπτέον εἶναι ἐν τῷ πρὸς Δημόνικον λόγῳ βούλου ἀντὶ τοῦ θέλε, καθάπερ Ἰσοκράτης ἔγραψεν ἐν τῷ πρὸς Νικοκλέα, παραγρ. κδ'· Ἀρχικὸς εἶναι βούλου. καὶ γὰρ κἀκεῖ ἡ Ἀλδίνη ἔκδοσις ἔχει θέλε, ὅπερ φαίνεται ἡμαρτημένον.

OH' Τῶν δ' ἑξῆς ἃ διεξέρχεται Βησέληρος ὡς ἐπιδείξων πολλὰ ἐν τῷ λόγῳ τῇ Ἰσοκράτους συνηθείᾳ ἐναντιούμενα τὰ μὲν πλεῖστα οὐ μέγα δύναται οὐδ' ἀξιόλογά ἐστιν, οἷον ὅταν λέγῃ πρὸς παραγρ. κε', ὅτι ῥητός παρ' Ἰσοκράτει οὐ τὸ δυνάμενον ῥηθῆναι ἀλλὰ μόνον τὸ ῥηθὲν σημαίνει — παντὶ δὲ δῆλον, ὅτι τὸ ῥητὸν κἀκεῖνο σημαίνειν δύναται. ἐν δὲ τῇ αὐτῇ παραγρ. βασανίζειν οὐ σημαίνειν ἐξετάζειν παρ' Ἰσοκράτει φησὶν οὐδὲ φθονεῖν τῇ ἐπί προθέσει συντάττεσθαι, ἀλλὰ δοτικῇ, καὶ παραγρ. κζ', ἐσθῆτας πληθυντικῶς λέγεσθαι ὑπ' Ἰσοκράτους (Β', α' καὶ λβ') οὐδὲ παίζειν Ἰσοκράτη ἀντιτιθέντα χρήματα κτήμασιν· ἔτι δ' ἀπολαύειν ἀεὶ συντάττεσθαι γενικῇ οὐδὲ καρτερεῖν τῇ αἰτιατικῇ, ἀλλὰ ταῖς ἐπὶ καὶ ἐν προθέσεσιν· οὐδὲ πληθυντικῶς λέγειν τὰς διοικήσεις, παραγρ. λζ'. οὐδὲ τὸ ἀποκρύπτειν, παραγρ. μβ', εἶναι Ἰσοκράτους, ὃς τῷ μέσῳ μόνον χρῆται, οὐδὲ χρῆσθαι τῷ ὀνόματι εὐβουλία ἁπλῶς, ἀλλὰ συν-
OΘ' τάττειν ταῖς πρός ἢ περί προθέσεσιν. Εὐβουλία δὲ δὶς ἔτι εὑρίσκεται ἐν τοῖς Ἰσοκράτους λόγοις ὥστε χαλεπὸν εἶναι δυοῖν μόνοιν παραδειγμάτοιν πεποιθότα καθ' ὅλου διορίζεσθαι περὶ τῆς συνηθείας τοῦ ῥήτορος. καὶ τοιουτότροπά ἐστι τὰ ἄλλα τὰ ὀλίγῳ πρότερον ἐξηριθμημένα. οἷον φάσκοντος Βησελήρου τὸ βασανίζειν παρ' Ἰσοκράτει οὐ σημαίνειν ἐξετάζειν δύναιτ' ἄν τις ἡγεῖσθαι Ἰσοκράτη συνεχῶς χρῆσθαι τῷ βασανίζειν, ἀλλὰ τὸ πρᾶγμα παντάπασιν ἄλλως ἔχει. ἐστὶ γὰρ τοῦ ῥήματος οὐ πολλὴ χρεία. οὐδ' Ἰσοκράτης ῥαδίως ἂν ἄλλην ἀφορμὴν ηὗρε τοῦ χρῆσθαι αὐτῷ, εἰ μὴ ἔγραψε τὸν ἑπτακαιδέκατον λόγον. οὗτος δ' ὁ λόγος, ὃς ἐπιγράφεται Τραπεζιτικὸς, τοῦ δικανικοῦ γένους ἐστὶ, γεγραμμένος ξένῳ τινὶ τῶν μαθητῶν ὑπ' Ἰσοκράτους κατὰ Πασίωνος τοῦ τραπεζίτου. διηγεῖται οὖν ἐν αὐτῷ ὁ δικαζόμενος Πασίωνα οὐκ ἐθελῆσαι βασανίζεσθαι παῖδά τινα, ὃν συνειδότα περὶ τῆς παρακαταθήκης ἠξίου καταμαρτυρεῖν Πασίωνος. οὕτως οὖν ὁ συγγράψας τὸν λόγον μακρολογῶν περὶ τοῦ πράγματος τούτου πολλάκις [α']) χρῆται τῷ βασανίζειν ῥήματι, ἀλλ' ἀεὶ, ὡς εἰκὸς, σημαίνων τὸ στρεβλοῦν. Παρ' ἄλλοις δὲ συγγραφεῦσιν, οἷς πλείων ἀφορμὴ τοῦ διαλέγεσθαι περὶ τῶν τοιούτων,
Π' πλειστάκις εὑρίσκεται τὸ βασανίζειν σημαῖνον ἐξετάζειν [β']). ὅμοια δὲ λεκτέον ἂν ἡμῖν εἴη καὶ περὶ τοῦ φθονεῖν συνταττομένου τῇ ἐπί προθέσει. εὑρίσκεται γὰρ τοῦτο παρ' ἄλλοις συγγραφεῦσιν [γ']). οὐδ' ὁρῶμεν, διὰ τί Ἰσοκράτης οὐκ ἂν δυνηθείη τὴν

α') τοῦτ' ἔστι δεκάκις· παραγρ. ιγ'. ιδ'. ιε'. ιϛ'. ιζ' (δὶς). κα'. κζ'. μθ'. νγ'.

β') οἷον παρὰ Πλάτωνι, Γοργ. σελ. υπζ', Α. Θεαιτ. ρν', Β. ρϟα', Γ. Σοφιστ. σμα', Δ. Συμποσ. ρπδ', Α. Πολιτ. Ζ'. φλζ' Δ, καὶ ἄλλοθι.

γ') Πλάτ. Φιλήβ. σελ. μη', Β. Δημοσθ. Γ', κδ'. Κ', ρνα'. Ξενοφ. Ἀπομν. Γ', θ', η'. Κύρου Παιδ. Β', δ', ι'.

ἐσθῆτα ἐκφέρειν ἑνικῶς, καίπερ δὶς πληθυντικῶς τῷ ὀνόματι τούτῳ χρησάμενος[α']).
Καὶ ὅτι ἀναξίαν Ἰσοκράτους εἶναί φησι Βησέληρος τὴν παιδιὰν τὴν ἐν τοῖσδε· πειρῶ
τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάσαι, ἔδειξε Σάνδυς, ὡς
ψευδὴς αὕτη ἡ δόξα ἐστὶ μάλ' ἐμμελῶς παρατιθέμενος ἐκ τοῦ πρὸς Νικοκλέα (παραγρ.
κς') τάδε Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς
ἄριστα τῇ παρούσῃ χρησαμένους, καὶ ἐκ τοῦ Ἀρεοπαγιτικοῦ (παραγρ. λε') τάδε·
αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν .... αἱ δὲ χρήσεις κοιναὶ πᾶσι κτλ.
Γράφει δὲ καὶ καὶ Κούριος ἐν Κικέρωνος Ἐπιστολαῖς[β']) τοῖς Ῥωμαϊστὶ λεγομένοις ἐγ- ΠΑ'
καταμίξας τὰς Ἑλληνικὰς λέξεις τὰς χρῆσις καὶ κτῆσις ὧδε· „Εἰμὶ γὰρ χρήσει
μὲν σοῦ, κτήσει δὲ τοῦ ἡμετέρου Ἀττικοῦ.“

Ὀλίγῳ δ' ἀξιολογώτερά ἐστιν ἃ Βησέληρος περὶ τοῦ παθητικοῦ νικᾶσθαι
λέγει, ὃ εὑρίσκεται παραγρ. κς'. ἴσμεν γὰρ τοὺς Ἀττικοὺς πολλάκις ἀντὶ τοῦ νικᾶσθαι
λέγειν ἡττᾶσθαι, καὶ δὴ καὶ Ἰσοκράτης παθητικῶς χρῆται τῷ ἡττᾶσθαι· ὅμως δὲ
καὶ νικᾶσθαι ἐνίοτε εὑρίσκεται παρὰ τοῖς Ἀττικωτάτοις συγγραφεῦσιν, ὡς Πλάτ.
Νόμ. Α'. σελ. χκς', Β. ΙΒ', σελ. ϡνς', Δ. Τιμ. σελ. νς', Ε. νζ' Β. Θουκυδ. Α', ος'.
Β', να'. Ξενοφ. Ἑλλ. Δ', ε', β'. καὶ ἀλλαχοῦ. διὰ τί δ' ἐνταῦθα Ἰσοκράτης ἐχρήσατο
τῷ νικᾶσθαι ἀντὶ τοῦ ἡττᾶσθαι, τὸ αἴτιόν ἐστι φανερὸν, τοῦ γὰρ ἡττᾶσθαι
ἀκολουθοῦντος εὐθὺς δὶς τῷ αὐτῷ ῥήματι χρήσασθαι ἢ τὴν εἰθισμένην ἀντίθεσιν
προέσθαι ἔδει αὐτὸν ἐν τοῖσδε· Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν
νικᾶσθαι ταῖς κακοποιίαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργε-
σίαις.

Ὅτι δὲ παραγρ. κθ' θηλυκῶς τὰς κύνας ἐξήνεγκε, καὶ τοῦτο Βησελήρῳ ὕποπτον ΠΒ'
εἶναι φαίνεται, ἀλλὰ καίπερ Ἰσοκράτους λόγ. ΙΕ' παραγρ. σια' ἅπαξ ἀῤῥενικῶς ἐξενεγκόν-
τος τὸ ὄνομα τοῦτο, φαίνονται οἱ Ἀττικοὶ πλεονάκις θηλυκῶς ἢ ἀῤῥενικῶς ἐξενεγκόντες
τὸ ὄνομα τὴν κύνα. Μεμνῆσθαι δὲ δεῖ καὶ ὧν Βησέληρος λέγει περὶ τοιούτων συν-
τάξεων, οἷα ἐστὶν ἥδε· παραγρ. ις'· τέρψις σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ
δὲ τούτου κάκιστον, ἢ παραγρ. λδ'· ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν
θεῶν εὐτυχίαν, ἢ παραγρ. μ'· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν
ἀνθρώπου σώματι. φησὶ γὰρ Βησέληρος Ἰσοκράτη οὐκ εἰωθέναι χρῆσθαι τῷ
οὐδετέρῳ ὡς ὑπαρκτικῷ μὴ προσθέντα γενικὴν ὑπαρκτικοῦ ῥήματος, ὥσπερ Γ', μζ'·
μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή, Η', ριε'· τὴν ἀρχὴν τὴν κατὰ θάλατ-
ταν μέγιστον τῶν ἀγαθῶν, καὶ Θ', μ'· τυραννίδα καὶ τῶν θείων ἀγα-
θῶν καὶ τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον καὶ περιμαχητό-
τατον εἶναι. Ἀλλὰ πρῶτον μὲν ἡ σύνταξις αὕτη σπανιωτάτη ἐστὶν οὐδ' ἄν τις ΠΓ'
ῥαδίως πλείω αὐτῆς παραδείγματα ἐν τοῖς Ἰσοκράτους λόγοις εὕροι· πρεπούσης μὲν γὰρ
αὐτῆς μόνον βραχείαις γνώμαις, ἀναρμοστούσης δὲ ταῖς μεγάλαις περιόδοις, ἐξ ὧν ὡς
ἐπὶ τὸ πολὺ σύγκεινται οἱ Ἰσοκράτους λόγοι, οὐκ ἄν τις θαυμάσειεν, εἰ ἐν τοῖς ἄλλοις
λόγοις μόλις εὑρίσκεται. Ἔπειτα καὶ ἐν τῷ πρὸς Δημόνικον λόγῳ ὅμοιον ὂν τοῖς προειρη-
μένοις τὸ παράδειγμα περίεστι τόδε· παραγρ. ιθ'· σοφία γὰρ μόνον τῶν χρημά-

---

α') Β', παραγρ. α'· οἱ εἰωθότες .. τοῖς βασιλεῦσιν ὑμῖν ἐσθῆτας ἄγειν, καὶ τοῦ αὐτοῦ λόγου παραγρ. λβ'· τρύφα μὲν ἐν ταῖς ἐσθῆσιν. οἷα δ' ἐστὶ ταῦτα τὰ Βησελήρου τεκμήρια, οἷς ὡς ἐπὶ τὸ πολὺ συμφωνεῖ καὶ Βλάσσιος (περὶ τῶν Ἀττικῶν ῥητόρων τόμ. β'. σελ. ρκζ'.) καταφανὲς ἂν εἴη τῷ ἐνθυμουμένῳ, ὅτι ὁ αὐτὸς Βησέληρος τὰ ἐκ τῆς λβ' παραγρ. τοῦ πρὸς Νικοκλέα παρατεθέντα νόθα εἶναι κρίνει. οὐκοῦν διότι ὁ κατὰ Βησέληρον ὑποβολιμαῖος Ἰσοκράτης τὰς ἐσθῆτας ἐξήνεγκε πληθυντικῶς, ξυμβαίνει μὴ Ἰσοκράτους εἶναι λόγον, ἐν ᾧ τὴν ἐσθῆτα ἑνικῶς ἐξήνεγκεν.

β') Βιβλ. Ζ', ἐπιστ. κθ', παραγρ. α'.

των ἀθάνατον. — Καὶ ὅτι ἡ ὀνομαστικὴ ὁ νοῦς, ὥς φησι Βησέληρος πρὸς παραγρ. λβ' ἐν τοῖς ἄλλοις λόγοις οὐχ εὑρίσκεται, Ἰσοκράτους τῇ αἰτιατικῇ τοῦ ὀνόματος τούτου μόνῃ χρωμένου ἐν ταῖς λέξεσι· προσέχειν τὸν νοῦν καὶ νοῦν ἔχειν ἀποδείκνυσι τὸν ῥήτορα συνήθη γενόμενον λέξεσί τισιν, ἃς ἀεὶ διὰ στόματος ἔχει καὶ διατελεῖ γράφων· οὐ μέντοι τῇ συχνῇ χρείᾳ ταύτῃ ἕπεται, ὅτι Ἰσοκράτης ἄλλως οὐκ ἠδυνήθη χρῆσθαι τῷ ὀνόματι, ἐπειδὴ ἄλλοι συγγραφῆς, ὥσπερ Πλάτων, καὶ ταῖς ἄλλαις πτώσεσι τῆς λέξεως χρῶνται.

ΠΔ' Ἄξιον δὲ λόγου μνημονεύειν καὶ τὴν σύν πρόθεσιν, ἣ συνεχῶς μὲν συζεύγνυται τοῖς ῥήμασιν, ἔξω δὲ τῆς συνθέσεως ἅπαξ μόνον εὑρίσκεται παρ' Ἰσοκράτει ἐν τῇ τοῦ πρὸς Δημόνικον λόγου ις' παραγρ. εἰ οὖν ἐκ τούτου φανερόν ἐστιν, ὅτι Ἰσοκράτης σπανιώτατα τῇ προθέσει ταύτῃ κέχρηται, ἀλλ' οὖν τούτῳ γ' οὐχ ἕπεται, ὅτι παντελῶς αὐτῆς ἀπείχετο. τὸ δ' αἴτιον τῆς σπανίας χρείας ταύτης ἐστὶν, ὅτι ἡ μετά πρόθεσις παντάπασι τὴν αὐτὴν τῇ σύν σημασίαν εἴληφεν. τῆς ἑτέρας οὖν τοῖν δυοῖν προθεσέοιν περιττῆς οὔσης συνέβη τοὺς καταλογάδην γράφοντας ἔξω Ξενοφῶντος συνηθεστέρους γενέσθαι τῇ μετά, τοὺς δὲ ποιητὰς πολὺ πυκνότερον χρῆσθαι τῇ σύν προθέσει, ὡς ἔδειξε Μομψήνιος ἐκδοὺς ἔτει ,αωοδ' ἐν Φραγκοφυρτίῳ σύγγραμμα, ᾧ διασαφεῖ τινας τῶν νόμων τῶν ὁριζόντων τὴν τῶν προθέσεων χρείαν[α']).

ΠΕ' Ὅμοια δὲ τοῖς προειρημένοις καὶ πολλὰ ἄλλα ἐστὶν, ἃ ἐξαριθμεῖ ἔτι Βησέληρος ὡς οὐκ Ἰσοκράτεια ὄντα, οἷον χάριτας χαρίζεσθαι, παραγρ. λα', βαρὺ γάρ, παραγρ. λα', πρὸς τὰς διοικήσεις, παραγρ. λζ'., οἱ ἄδικοι,[β']) παραγρ. λθ', ἐπισκόπει τῇ γνώμῃ, παραγρ.. μα'. (ἐνταῦθα Βησέληρος τὴν προσθήκην τῆς δοτικῆς ἀλλοτρίαν εἶναί φησιν Ἰσοκράτει), ἀποκρύπτειν (ἀντὶ τοῦ ἀποκρύπτεσθαι), παραγρ. μβ', προφέρειν, παραγρ. μδ', ὅπερ μόνον ὀνειδίζειν[γ']), ἀλλ' οὐ προσκομίζειν φησὶ σημαίνειν παρ' Ἰσοκράτει Βησέληρος)· τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσιν, παραγρ. μς', ἐκεῖ (ὅπερ φησὶ μόνον περὶ τόπου τίθεσθαι παρ' Ἰσοκράτει) καὶ μνημονεύειν συνταχθὲν γενικῇ· (αἰτιατικῇ γὰρ συντάττει τὸ ῥῆμα Ἰσοκράτης). Παραγρ. μθ'. τῷ βίῳ ἐλαττοῦσθαι, ὃ ψέγει Βησέληρος, ὅτι Ἰσοκράτης μόνον ἐλαττοῦσθαι ἔν τινί φησιν[δ']). καὶ παραγρ. ν'· ὡς οἱ μῦθοι λέγουσιν· (διότι λέγειν παρ' Ἰσοκράτει μόνον ἐπὶ ζώων φησὶ τίθεσθαι).[ε']) Καὶ παραγρ. νβ' ἐπικρατεῖν αἰτιατικῇ συνταχθὲν, ἐπειδὴ μόνον γενικῇ φησι παρ' Ἰσοκράτει συντάττεσθαι ἐν γοῦν τοῖς τέτταρσι παραδείγμασιν ἃ ἐξαριθμεῖ, Ϛ', πα'., Η' η'. ρβ'. ΙΕ', ιε'.

ΠϚ' Ταῦτ' οὖν πάντα, πόλλ' ἂν εἰπεῖν ἔχων, ἐῶ· ἐπειδὴ λόγοις μακροτέροις ἔδει με χρῆσθαι, εἰ ἠβουλόμην πάντα ἐλέγξαι μηδενὸς ὄντα ἄξια. Εἶπον δ' ἤδη πολλάκις, ὅτι ἐκ τοῦ μὴ εὑρεθῆναι λέξιν ἢ σύνταξίν τινα ἐν τοῖς ἄλλοις λόγοις οὐκ ἔστι τεκμαίρεσθαι τὴν λέξιν ἢ τὴν σύνταξιν οὐκ εἶναι Ἰσοκράτειον. Διόπερ οὐ δύναμαι ἀποδέχεσθαι τὴν

α') ηὗρε δὲ λογισάμενος λζ' μὲν παραδείγματα τῆς σύν προθέσεως παρὰ Θουκυδίδῃ, β' δὲ παρ' Ἀντιφῶντι, α' δὲ παρ' Ἀνδοκίδῃ, β' δὲ παρὰ Λυσίᾳ, ζ' παρ' Ἰσαίῳ, λζ' δὲ παρὰ Πλάτωνι, ιβ' δὲ παρὰ Δημοσθένει, α' δὲ παρ' Αἰσχίνῃ, η' δὲ παρ' Ἀριστοτέλει· τοὐναντίον δὲ ρπα' παρ' Ὁμήρῳ, ρϟζ' δὲ παρ' Εὐριπίδῃ καὶ φνϛ' παρὰ Ξενοφῶντι.

β') Ἀλλὰ λέγει Ἰσοκράτης ὁμοίως τοὺς κακοὺς καὶ τοὺς ἀγαθούς Γ', ζ'. ΙΕ', σνε'.

γ') Ὡς Δ', ρ'. Ἐπειδὴ δὲ μόνον ἐκεῖ ἔτι εὑρίσκεται τὸ ῥῆμα τοῦτο, δῆλον, τί βούλεται λέγειν Βησέληρος ἀποφαίνων τὸ ῥῆμα οὐδαμοῦ παρ' Ἰσοκράτει σημαίνειν τὸ προσκομίζειν.

δ') Ἀλλὰ καὶ ταύτης τῆς συντάξεως δύο μόνον παραδείγματα εὑρίσκεται, ΙΒ', σμγ' καὶ ΙΕ', σπα'.

ε') Ἀλλ' ὅμοιόν ἐστι τόδε· ὅστις Φιλίππῳ συμβουλεύσοντα λόγον μέλλεις πέμπειν, Ε', ιη'. χρῆται δὲ καὶ τῷ μυθολογεῖν πολλάκις Ἰσοκράτης, ὡς Β', μθ'. Ϛ', κδ'. Θ', λϛ'.

Βλασσίου περὶ τοῦ πράγματος τούτου γνώμην λέγοντος „εἰ καὶ ἔνια μὴ ἀξιόλογά ἐστιν (ὧν ἐξαριθμεῖ Βησέληρος), ἀλλ' οὖν τά γ' ὑπολειπόμενα ἱκανά ἐστιν ἐπιδεῖξαι τὸν λόγον οὐκ ὄντα Ἰσοκράτους" [α']. τῶν τοιούτων γὰρ ἐν πᾶσι τοῖς Ἰσοκράτους λόγοις εὑρισκομένων φανερὸν, ὡς ταῦτ' οὐκ ἀρκεῖ πρὸς τὸ νόθον εἶναι κρῖναι λόγον τινά. βούλομαι δ' οὖν ἔτι διὰ βραχέων τοῦτο δεῖξαι ὀλίγοις παραδείγμασι χρώμενος.

Λόγ. Γ', παραγρ. νη', Ἰσοκράτης λέγων ὥραν ἄβατον τοῖς πονηροῖς φαίνεται χρώμενος τῷ ἄβατος τροπικῶς· ἀλλὰ λόγ. Γ' παραγρ. λγ', ὅπου γέγραπται ἀβάτου τῆς Ἑλλάδος ἡμῖν οὔσης, ὅπερ σημαίνει· ἧς οὐκ ἄν τις ἐπιβαίη, τὸ ἄβατος τὴν κυρίαν σημασίαν φυλάττει. ΙΖ'

Λόγ. Η', παραγρ. ξ', λέγει τὸ συμβαῖνον ἀγαθόν· τοῦτο δ' ἐν ἄλλῳ λόγῳ οὐχ εὑρίσκεται· ἔγραψε δὲ ΙΒ', ρξζ'· τὸ συμβεβηκὸς ἀγαθόν.

Λόγ. ΙΔ', παραγρ. ε', ἀγανακτεῖν ἅπαξ συντάττεται τῷ ὅτι συνδέσμῳ· ἀλλὰ καίπερ τοῦ ῥήματος ἐν πολλῇ χρείᾳ παρ' Ἰσοκράτει ὄντος, οὐδαμοῦ ἡ σύνταξις αὕτη αὖθις εὑρίσκεται· ἄλλοθι γὰρ συντάττεται ταῖς ἐπί καὶ ὑπέρ προθέσεσιν Η', μθ'. ΙΑ', ϛ'. Δ', ρξη' κτλ. ἢ μετοχῇ, ὡς ΙΕ', τιβ'. Η', ρκδ' καὶ ἄλλοθι, ἢ τῷ εἰ συνδέσμῳ, ὡς Ε', οζ'. Ζ', ογ'. Η', μβ' κτλ.

Ἐπιστ. Α', παραγρ. η', ἀγαπᾶν συντάττεται τῷ ἢν συνδέσμῳ· πανταχοῦ δ' ἄλλοθι τῷ εἰ συνδέσμῳ, ὡς Ε', κβ'. Ζ', νβ'. ογ'. Θ', πα'. ΙΘ', κ'. Ἐπιστ. Ϛ', ϛ'.

Λόγ. ΙΔ', παραγρ. μα', τὸ ἀγαπητῶς ἐπίῤῥημα καὶ ΙΑ', κε' τὸ ἁγίως ἐπίῤῥημα εὑρίσκεται, ἄλλοθι δ' οὐδαμοῦ.

Λόγ. Ε', παραγρ. ρκα', ἀγνοεῖν συντάττεται μετοχῇ, ὅπερ τοῦ ῥήματος ἐν πολλῇ χρείᾳ ὄντος παρ' Ἰσοκράτει ἄλλοθι οὐδαμοῦ εὑρίσκεται. συντάττει γὰρ αὐτὸ ἢ τῷ ὅτι συνδέσμῳ Γ', λζ'. Δ', γ'. ογ'. Ε', ρλα' καὶ ἄλλοθι πολλαχοῦ, ἢ τῷ εἰ συνδέσμῳ, ΙΕ', ιζ' ἢ ἀλλοίως, Δ', νγ'. Ε', ρν'. ΙΒ', λϛ'. ΙΗ'

Λόγ. ΙΒ', παραγρ. ρξγ', ἡ ἀγριότης λέγεται ἐπὶ τῶν θηρίων, ὅπερ ἄλλοθι οὐδαμοῦ εὑρίσκεται. καὶ γὰρ λόγ. ΙΕ', παραγρ. σιδ' Ἰσοκράτης τὸ ὄνομα τοῦτο πληθυντικῶς ἐπὶ τῶν ψυχῶν τῶν ἀνθρώπων ἔλεξεν.

Λόγ. ΙΘ', παραγρ. η', ἄγεσθαι μέσον ῥῆμά ἐστιν (ἠγάγετο τὴν ἀνεψιὰν τοῦ πατρός)· ἄλλοθι δ' οὐδαμοῦ τὸ μέσον ῥῆμα παρ' Ἰσοκράτει εὑρίσκεται, καὶ ὅμως συνεχῶς χρῆται τῷ ῥήματι τούτῳ Ἰσοκράτης.

Λόγ. Δ', παραγρ. οα', τὸ ἐπίθετον ἀδελφός συντάττεται γενικῇ (ἀδελφὰ τῶν εἰρημένων)· ἡ δὲ σύνταξις αὕτη ἄλλοθι οὐδαμοῦ εὑρίσκεται.

Λόγ. ΙΗ', παραγρ. κε', ἄδηλος συντάττεται τῷ εἰ συνδέσμῳ, ἄλλοθι δὲ τῷ ὅτι, Ϛ', πα' ἢ τῷ ὡς Δ', ρξβ' ἢ τῇ μετοχῇ, ΙΒ', ριϛ'. ΙΘ'

Λόγ. Γ', παραγρ. ζ', τὰ ἄδικα πληθυντικῶς καὶ οὐδετέρως λέγεται, ὅπερ ἄλλοθι οὐδαμοῦ εὑρίσκεται.

Λόγ. ΙΔ', παραγρ. με', λέγεται ἀθλιώτατα διακεῖσθαι· τὸ δ' ἐπίῤῥημα τοῦτο ἄλλοθι οὐδαμοῦ παρ' Ἰσοκράτει εὑρίσκεται.

Λόγ. Γ', παραγρ. νη', Ἰσοκράτης ἔλεξεν ἀθύμως ἔχειν· ἄλλοθι δὲ πανταχοῦ (Δ', μδ'. ϟγ'. ριϛ'. ΙΗ', ξ') ἀθύμως διάγειν ἢ διακεῖσθαι.

Λόγ. ΙΘ', παραγρ. κα', αἰσθάνεσθαι συντάττεται τῷ ὅτι συνδέσμῳ· τὴν δὲ σύνταξιν ταύτην ἄλλοθι οὐδαμοῦ εὕροι ἄν τις παρ' Ἰσοκράτει· συντάττει γὰρ μετοχῇ, οἷον Γ', ε'. Ι', κθ'. ΙΒ', λγ'. ρπδ'. σμζ'. ΙΔ', ξα'. ΙΕ', ϛ'. τκ' καὶ ἀλλαχοῦ.

α') Περὶ τῶν Ἀττικῶν ῥητόρων, τόμ. β'. σελ. σνη', σημειώσ. γ'.

Λόγ. ΙΒʹ, πηʹ. τὸ μέσον αἰτήσασθαι εὑρίσκεται· ἀλλαχοῦ δ' Ἰσοκράτης μόνον τῷ ἐνεργητικῷ χρῆται, οἷον ϛʹ. λαʹ. ΙΓʹ, γʹ. ΙΖʹ, ιβʹ. —

ϟʹ Ἀλλ' ἱκανῶς ταῦτ' εἰρήσθω μοι· δυνηθείην γὰρ ἂν ὅλον βιβλίον ἐμπλῆσαι τῶν τοιούτων παραδειγμάτων ἐπιδεικνύων πλείστας συντάξεις τε καὶ χρείας ῥημάτων ἅπαξ μόνον παρ' Ἰσοκράτει εὑρισκομένας. ταῦτ' οὖν ἐάσας μεταβήσομαι πρὸς τὸ τελευταῖον τεκμήριον, ᾧ χρώμενος Βησέληρος τὸν λόγον οὐκ ὄντα τοῦ μεγάλου Ἰσοκράτους ἐπιδεῖξαι πειρᾶται. φησὶ γὰρ Ἰσοκράτη ἄλλων ῥητόρων διαφέροντα τῷ τάξιν ἀκριβῆ φυλάξαι ἐν τοῖς λόγοις καὶ ἀεὶ τὸ λεγόμενον τοῖς προειρημένοις συγκλεῖσαι, εἰ ἔγραψε τὸν πρὸς Δημόνικον λόγον, οὐδαμῶς ἂν οὕτως ἀτάκτως τὰς ὑποθήκας ἐπ' ἀλλήλαις συννῆσαι, ὡς γεγένηται ἐν τῷ λόγῳ. οὐκοῦν καὶ ἐκ τῆς ἀταξίας ταύτης συλλογίζεται Βησέληρος τὸν πρὸς Δημόνικον οὐκ εἶναι Ἰσοκράτους.
ϟΑʹ Ὀρθῶς δὲ τούτοις ὑπέλαβε Σνείδηρος, ὅτι ἐν τοιούτῳ λόγῳ γραφέντι πρὸς νέον τινὰ καὶ παντοίας ὑποθήκας πρὸς τὸ καλῶς ζῆν περιέχοντι καὶ δὴ ἐπιστολῇ ὁμοιοτέρῳ ὄντι ἢ λόγῳ οὐδεὶς ἂν ζητοίη τάξιν ἀκριβῆ τῶν λεγομένων· εἶτα δ' ὅμοιόν τι εὑρίσκεται ἐν τῷ πρὸς Νικοκλέα λόγῳ, ἐν ᾧ οὐ μόνον ἀτάκτως πολλὰ σεσώρευται, ἀλλὰ καὶ Ἰσοκράτης αὐτὸς ἐν τῷ περὶ τῆς Ἀντιδόσεως λόγῳ μέλλων πλείω παραθήσεσθαι ἐκ τοῦ πρὸς Νικοκλέα ὑπὲρ τούτου ἀπολογητέον εἶναι ἡγεῖται τὸν λόγον τοῦτον ἀνόμοιον εἶναι τοῖς ἄλλοις ὁμολογῶν καὶ γράφων· ἔστι δ' ὁ μέλλων δειχθήσεσθαι Νικοκλεῖ τῷ Κυπρίῳ, τῷ κατ' ἐκεῖνον τὸν χρόνον βασιλεῖ, συμβουλεύων, ὡς δεῖ τῶν πολιτῶν ἄρχειν· οὐχ ὁμοίως δὲ γέγραπται τοῖς ἀνεγνωσμένοις. οὗτοι μὲν γὰρ τὸ λεγόμενον ὁμολογούμενον ἀεὶ τῷ προειρημένῳ καὶ συγκεκλειμένον ἔχουσιν, ἐν δὲ τούτῳ τοὐναντίον· ἀπολύσας γὰρ ἀπὸ τοῦ προτέρου καὶ χωρὶς ὥσπερ τὰ καλούμενα κεφάλαια ποιήσας πειρῶμαι διὰ βραχέων ἕκαστον ὧν συμβουλεύω φράζειν.
ϟΒʹ καὶ δὴ οἴεται Βησέληρος τούτοις ἐπιδείκνυσθαι τοὐναντίον οὗπερ Σνείδηρος βούλεται. φησὶ γάρ· εἰ Ἰσοκράτης ᾠήθη δεῖν ἀπολογεῖσθαι ὑπὲρ λόγου, ἐν ᾧ ἡ τάξις τῶν λεγομένων πολὺ μᾶλλον ἐφυλάχθη, τοῦτ' ἐπιδείκνυσιν, ὡς παντάπασι τῇ Ἰσοκράτους συνηθείᾳ ἐναντιοῦται ἡ πολὺ μείζων ἀταξία ἡ ἐν τῷ πρὸς Δημόνικον λόγῳ ἐνοῦσα. Ἀλλὰ τοῦτο ἐκ τοῦ πρὸς Νικοκλέα λόγου φανερόν ἐστιν, ὅτι Ἰσοκράτης οὐ πάντας τοὺς λόγους οὕτως ἔγραψεν ὥστε, ὡς αὐτός φησι, τὸ λεγόμενον ὁμολογούμενον ἀεὶ τῷ προειρημένῳ καὶ συγκεκλειμένον ἔχειν· καὶ ὅτι κατὰ τοῦτο τρόπον τινὰ ὁ πρὸς Νικοκλέα λόγος ὅμοιός ἐστι τῷ πρὸς Δημόνικον, καὶ Βησέληρος ᾔσθετο· ἵνα γὰρ τὴν ἀταξίαν, εἰς ὅσον αὐτῷ δυνατὸν ἦν μάλιστα, ἐκ τοῦ πρὸς Νικοκλέα λόγου ἐξέλοι, πολλὰ ἐν αὐτῷ νόθα εἶναι ἔκρινεν· οἶμαι δ' ἂν αὐτὸν καὶ τὸν λόγον ὅλον μὴ Ἰσοκράτειον εἶναι ἐξαρνηθῆναι, εἰ μὴ Ἰσοκράτης αὐτὸς ἐν τῷ περὶ τῆς Ἀντιδόσεως λόγῳ συγγράψαι αὐτὸν ὁμολογήσας πόλλ' ἐξ αὐτοῦ παρέθετο.

ϟΓʹ Καὶ δὴ καὶ Στέφανος, ὃς τὰς Ἰσοκρατικὰς διατριβάς, περὶ ὧν μνείαν ἐποιησάμην ἄνω παραγρ. Εʹ, σελ. βʹ. τότ' ἔγραψεν, ὅτε τῆς Ἀντιδόσεως ἐκεῖνο τὸ μέρος, ἐν ᾧ πολλὰ ἐκ τοῦ πρὸς Νικοκλέα λόγου παρατίθεται Ἰσοκράτης, ἐν ταῖς βιβλιοθήκαις κατορωρυγμένον ἐλάνθανεν, ἐπεὶ τὸν πρὸς Δημόνικον λόγον ἐξηρνήθη μὴ εἶναι τοῦ μεγάλου Ἰσοκράτους, πολλὰ καὶ τῷ πρὸς Νικοκλέα λόγῳ ἐπιτιμήσας καὶ τοῦτον οὐκ εἶναι Ἰσοκράτους ἔκρινεν, ὃ οὐκ ἂν δήπου ἐποίησεν, εἰ ἤδη ἐννεακαίδεκα καὶ διακοσίοις ἔτεσιν ὕστερον ὑπὸ Μουστοξύδου εὑρεθησόμενον παλαιὸν ἀντίγραφον περιέχον τὰ μέχρι ἐκείνης τῆς ἡλικίας λανθάνοντα τοῦ περὶ τῆς Ἀντιδόσεως λόγου καὶ ἐν τούτοις μαρτυρίαν Ἰσοκράτους αὐτοῦ τὸν πρὸς Νικοκλέα λόγον συγγράψαι ὁμολογοῦντος.

Ὑπόλοιπόν ἐστιν ἔνια λέγειν περὶ τῆς Παυλίου γνώμης[α']), ὃς τὸν πρὸς Δημό- ϟΔ'
νικον λόγον Ἰσοκράτους μὲν εἶναι οἴεται, μάλα δὲ διαφθαρῆναι καὶ ἑτέρων ὑποθηκῶν
παρεμβολῇ ὑπὸ τῶν μεταγραφόντων αὐξηθῆναι νομίζει. ταύτῃ οὖν τῇ γνώμῃ πρότερον
καὶ Βησέληρος προσέθετο, ὥσπερ εἶπον ἄνω παραγρ. Η', σελ. γ'. ὁμολογητέον οὖν
ἐστιν, οἶμαι, οὐδὲν εἶναι ῥᾷον ἢ ὅταν εὑρίσκηται παρὰ συγγραφεῖ τινι δυσχερῆ ἄττα καὶ
δυσαρέσκοντα ταῦτα ὑποβολιμαῖα εἶναι καὶ διεφθάρθαι ἀποφήνασθαι. φησὶν οὖν
Παύλιος ἐν ἐνίοις μὲν (παραγρ. ιγ'—ιδ') τὴν τῶν γνωμῶν τάξιν ἀμεληθῆναι, εἶτα δὲ
τὴν αὐτὴν ὑποθήκην πλεονάκις ἐπαναληφθῆναι (παραγρ. ιγ'. ιδ'. ιϛ'.), ἄλλα δὲ τῇ σα-
φηνείᾳ καὶ ἁπλότητι τῇ Ἰσοκράτους ἐναντιοῦσθαι (παραγρ. κβ'. λγ'), ἢ παιγνιώδη εἶναι
(ὡς παραγρ. κη') καὶ ῥήματα εὑρίσκεσθαι οὐκ οἰκεῖα Ἰσοκράτει ὄντα (οἷον παραγρ. ιε'
κόσμος ἀντὶ τοῦ εὐκοσμία καὶ κρατεῖσθαι ἀντὶ τοῦ κατέχεσθαι), καὶ ὑπο-
θήκας τινὰς ἀναξίας μὲν ἀνδρὸς Ἀθηναίου, ἀνθρώπῳ δὲ βασιλεῦσι δουλεύοντι πρε-
πούσας.

Ἀλλὰ πάντα ταῦτ' οὐκ ἐπιδείκνυσι τὸν λόγον οὐκ ὄντα Ἰσοκράτους. ὅμοια ϟΕ'
γὰρ ἐν τοῖς ἄλλοις λόγοις εὑρίσκεσθαί φασιν οἱ τὸν πρὸς Δημόνικον Ἰσοκράτους οὐκ
εἶναι φάσκοντες· ὃ οὐκ ἂν ἐξαρνηθείη τις ἀναγνοὺς ἃ Βλάσσιος ἐν πρώτοις κατὰ τοῦ
Παναθηναϊκοῦ λόγου καὶ τοῦ περὶ τῆς Ἀντιδόσεως διέξεισι[β'])· πολλοὺς γὰρ ἐν τοῖς
λόγοις τούτοις λήρους τε καὶ ὕθλους εἶναί φησιν, ἄλλα δ' εἶναι παιγνιώδη· τὴν δὲ
τάξιν ἐν τῷ Παναθηναϊκῷ πλημμελῆ τε καὶ σφαλερὰν εἶναι κρίνει τῶν αὐτῶν πολλάκις
δὶς καὶ τρὶς λεχθέντων· τὴν δ' Ἀντίδοσιν Βλάσσιος καὶ μάλ' ἐπιχαρίτως παμμεγέθει
ἀχύρων σωρῷ προσεικάζει· τοσαῦτα πλημμελῆσαι οἴεται Ἰσοκράτη[γ']).

Πρὸς δὲ τούτοις εἰ πᾶσαι αἱ παραγραφαί, αἷς ἐπετίμησέ τι Παύλιος, ἐξαιρεθεῖεν ϟϚ'
ὡς νόθαι οὖσαι, οὐδ' ἂν μία τῶν δυσχερεστέρων συγκρούσεων τῶν φωνηέντων, ἃς ἐν
τῷ λόγῳ ηὕρομεν καὶ ἃς ὅλως ἐξαιρετέας εἶναι εἴπομεν, ἀφανισθείη· πᾶσαι γὰρ ἐν
ἄλλαις παραγραφαῖς, αἷς οὐδὲν εἶχεν ἐπιτιμῆσαι Παύλιος, ἔνεισι. τοὐναντίον δ' ἐν οἷς
ἀποδοκιμάζει ὡς οὐκ οὖσιν Ἰσοκρατείοις λέξεις εὑρίσκονται Ἰσοκράτει οἰκειόταται, ὡς
ὕστερον δείξομεν.

Ἤδη ἐπειδὴ πάντα τὰ ὑπὸ Βησελήρου καὶ ἄλλων τοῦ λόγου κατηγορηθέντα
ἤλεγξα καὶ ἐπέδειξα ἀνεπιτήδεια ὄντα πρὸς τὸ νόθον κρῖναι τὸν λόγον, ὑπόλοιπόν ἐστι
μέρος τῆς πραγματείας, ἐφ' ᾧ μάλιστα σπουδάζω, ὃ δὲ μετὰ τοσαῦτα ἤδη ὑπὲρ τοῦ
λόγου λεχθέντα διὰ βραχέων ἔξεστιν ἐπιτελεῖν. δεῖ γὰρ ἤδη τεκμηρίοις χρώμενόν με
ταῖς τῶν παλαιῶν μαρτυρίαις καὶ τῇ τῆς λέξεως πρὸς τὴν Ἰσοκράτειον ὁμοιότητι τὸν
λόγον τοῦ μεγάλου Ἰσοκράτους ὄντα ἐπιδεῖξαι. καὶ μὴν ἐν τοῖς ἔμπροσθεν παραγρ. Δ', ϟΖ'
σελ. β'. τὰ ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως λεχθέντα παρεθέμην, ἐν οἷς μνημονεύει
τὸν λόγον ὡς ὄντα Ἰσοκράτους τοῦ αὐτοῦ τε καὶ Ἐχεκράτους, πρὸς ὃν ταῖτα γράφει,
ἑταίρου. καὶ ἔλεξα Μούρητον πρῶτον ἐκ τούτων τεκμήρασθαι τὸν πρὸς Δημόνικον
λόγον εἶναι Ἰσοκράτους τινὸς γενομένου κατὰ τοὺς αὐτοὺς χρόνους Διονυσίῳ· ἄλλους
δὲ ταύτην τὴν γνώμην ἀποδέξασθαι, οὐ μὴν ἀλλ' αὐτὴν ψευδῆ εἶναι, ἐπειδὴ τὸ ἑταῖ-
ρος τροπικῶς δεῖ ἀποδέξασθαι ἐν τοῖς ὑπὸ Διονυσίου γεγραμμένοις, καὶ ὑπισχνούμην
τοῦτ' ἐπιδείξειν. Τεκμήριον δέ· εἰ γὰρ Διονύσιος Ἰσοκράτη τινὰ ἡλικιώτην ὄντα αὐτοῦ
λέγειν ἠβούλετο, τοῦτό γε θαυμαστὸν οὐδαμοῦ ἄλλοθι οὔτ' αὐτὸν οὔτ' ἄλλον συγ-

---

α') ἣν ἀπεφήνατο Ζητήματα Ἰσοκράτεια ἐκδοὺς ἔτει ,αωκη'. Ἰδὲ καὶ Βησελ. περὶ τῆς συγκρούσεως τῶν φωνηέντων σελ. λϛ' καὶ λζ'.

β') Περὶ τῶν Ἀττικῶν ῥητόρων τόμ. β', σελ. σπϛ'. σϟζ'. σϟη'.

γ') σελ. σπϛ'.

γραφέα τούτου τοῦ Ἰσοκράτους μεμνῆσθαι. καὶ εἰ λόγοι τινὲς αὐτοῦ ἢ καὶ εἷς μόνος οὗτος περιῆν, διὰ τί Σουίδας καὶ ἄλλοι συγγραφῆς, οἳ τοσούτων ῥητόρων ὀνόματα καὶ

ϟΗ' ἀποσπάσματα ἐφύλαξαν, οὐδεμίαν μνείαν αὐτοῦ ἐποιήσαντο; τοὐναντίον δ' ὁρῶμεν Ἑρμογένει τε καὶ ἄλλοις τῆς ῥητορικῆς διδασκάλοις παντάπασιν ἄγνωστον ὄντα Ἰσοκράτη ῥήτορα, ἡλικιώτην Διονυσίου. πρὸς δὲ τούτοις Διονύσιος τὸν Ἀθηναῖον Ἰσοκράτη ἐθαύμαζε σφόδρα καὶ πολλὰ περὶ αὐτοῦ ἔγραψε· καὶ τὸ ὄνομα τὸ ἑταῖρος ῥᾷστα δυνάμενον λέγεσθαι τροπικῶς τίς οὐκ ἂν συνίδοι; ἔπειτ' ἄλλοθι Διονύσιος τὸν πρὸς Δημόνικον λόγον ἐν τοῖς γνησίοις Ἰσοκράτους συγγράμμασιν ἀριθμῶν δῆλός ἐστιν. γράφει γὰρ ἐν τῷ περὶ Ἰσοκράτους συγγράμματι· „Ἔχων δὲ πολλοὺς αὐτοῦ καὶ ἄλλους διεξιέναι λόγους πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας, ὧν οἱ μὲν εἰς τὴν τοῦ βίου σωφροσύνην τὰ πλήθη παρακαλοῦσιν, οἱ δ' εἰς μετριότητα καὶ νόμιμον ἀρχὴν τοὺς δυνάστας προάγουσιν, οἱ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πράττειν ἕκαστον ὑποτιθέμενοι, δεδοικὼς μὴ πέρα τοῦ δέοντος ὁ λόγος ἐκμηκυνθῇ μοι, ταῦτα μὲν ἐάσω“ κτλ. ἐπεὶ γὰρ κατὰ τὸν ἀνώνυμον γραμματικόν, ὃς τὸν βίον τὸν Ἰσοκράτους συνέγραψε, Διονύσιος πέντε καὶ εἴκοσι λόγους Ἰσοκράτους, οὓς γνησίους ἔκρινεν, εἶχε, τοὺς αὐτούς, οἳ νῦν ἔτι περίεισι — τέτταρας γὰρ ἐπιστολὰς μακροτέρας καὶ ὁμοίας οὔσας συμβουλευτικοῖς λόγοις ἐν τοῖς λόγοις ἀριθμεῖ — δῆλον, ὅτι γράφων „τοὺς πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας“ λέγει τοὺς Νικοκλέα τε ἢ Κυπρίους καὶ πρὸς Νικοκλέα καὶ πρὸς Δημόνικον ἐπιγραφομένους λόγους. συμφωνεῖ δὲ καὶ τῇ τοῦ πρὸς Δημόνικον ὑποθέσει ἃ περὶ αὐτοῦ λέγει Διονύσιος· „οἱ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πράττειν ἕκαστον ὑποτιθέμενοι“.

ϟΘ' Ὅτι δ' ὁ συνθεὶς τὸν πρὸς Δημόνικον λόγον οὐχ ἡλικιώτης ἦν Διονυσίου, ἀλλὰ πολὺ πρότερον ἐβίω, φανερὸν καὶ ἐκ τῆς λέξεως, ᾗ χρῆται πολὺ διαφερούσῃ τῆς κατὰ τοὺς Διονυσίου χρόνους ἐν χρείᾳ οὔσης· ἔτι δὲ καὶ ἐκ τῆς Ἀναξιμένους Ῥητορικῆς Τέχνης — ταύτῃ γὰρ ὅλον κῶλον τοῦ πρὸς Δημόνικον λόγου ἐγκαταμεμιγμένον εὑρίσκεται[α'] — ἔξεστι συλλογίσασθαι τὸν λόγον πρὸ τῆς Ἀναξιμένους Ῥητορικῆς Τέχνης γραφῆναι[β'].

Ἐκ πάντων οὖν τῶν προειρημένων φανερόν, ὅτι τὸ ὄνομα ἑταῖρος, ᾧ χρῆται Διονύσιος, Τέχν. Ῥητ. κεφ. ε', περὶ Ἰσοκράτους τροπικῶς δεῖ ἀποδέξασθαι τὸν αὐτὸν τρόπον, ὃν Κικέρων ἐν ταῖς πρὸς Ἀττικὸν Ἐπιστολαῖς Θεόφραστον φίλον ἑαυτοῦ ὀνομάζει[γ'].

Ρ' Χωρὶς δὲ Διονυσίου καὶ ἄλλοι τῶν παλαιῶν τεχνογράφων τὸν πρὸς Δημόνικον λόγον ὡς τοῦ μεγάλου Ἰσοκράτους ὄντα μνημονεύουσιν ἢ γνώμας τινὰς ἐξ αὐτοῦ παρατίθενται. οὕτως Ἑρμογένης, περὶ μεθόδου δεινότητος παραγρ. ις'[δ'] ὡς παρίσου παράδειγμα ἄττα παρατίθεται ἐκ τοῦ πρὸς Δημόνικον λόγου γράφων· „Πάρισον σχῆμα ἔστι τε καὶ λέγεται ὅταν τὸ αὐτὸ ὄνομα ἄλλην καὶ ἄλλην προσλαβὸν συλ-

---

α') Ἀναξιμ. Τέχν. κεφ. ια' (Τεχνογρ. ἐκδ. Σπεγγ. τόμ. α', σελ. ρϟθ', στίχ. γ')· „πιστευθέντες γὰρ ἀμφότεροι τοὺς πιστεύσαντας ἀδικοῦσιν“ ἅπερ μόνον οὐ κατὰ λέξιν παρέλαβεν ἐκ τοῦ πρὸς Δημόν. παραγρ. λ'. ὁμοίως δὲ ἐν τῇ προϊούσῃ σελίδι, ρϟη', στιχ. κε' τὸ τὰς ἐκ τῆς ἀβουλίας ἁμαρτίας εἴληφεν ἐκ τοῦ πρὸς Δημόν., παραγρ. λε'.

β') πρὸ τοῦ τμ' ἔτους, ὡς διορίζει Βλάσσιος τόμ. β'. σελ. τξα'.

γ') Βιβλ. β'. ἐπιστ. ις'. παραγρ. γ'.

δ') Τεχνογρ. Ἑλλ. σύλλ. ὑπ' Οὐαλσίου τόμ. γ', σελ. υκα' ἢ τῆς ὑπὸ Σπεγγελίου ἐκδοθείσης συλλογῆς τόμ. β', σελ. υμ'.

λαβὴν διαφερούσας διανοίας ἔχῃ. παρὰ μὲν Ἰσοκράτει οὕτως· ἐὰν ἧς φιλομαθής, ἔσει[α'] πολυμαθής.“ καὶ ὁ αὐτὸς τεχνογράφος ἐν τῷ αὐτῷ βιβλίῳ, παραγρ. κε' περὶ τοῦ ἀνεπαχθῶς ἑαυτὸν ἐπαινεῖν διαλεγόμενος τούτου τρεῖς μεθόδους εἶναι γράφει, κοινότητα λόγου, ἀνάγκης προσποίησιν, προσώπου ὑπαλλαγήν. „τούτων,“ φησὶ, „παραδείγματα Ἰσοκράτης ἐν τῷ πρώτῳ λόγῳ τῶν παραινέσεων τὸ πρῶτον προοίμιον ἑαυτοῦ ἔπαινον κατεσκεύασε· θέλει γὰρ εἰπεῖν, ὅτι ἐγὼ ἀνήρ εἰμι σπουδαιότατος καὶ μόνος φίλος ἀγαθὸς ἀποθανόντος τοῦ πατρός.“ καὶ παραγρ. κη' τοὺς παλαιοὺς διηγουμένους διπλῇ τινι ΡΑ'
μεθόδῳ χρῆσθαί φησιν ἀναφορᾷ δι' ἀσφάλειαν καὶ διὰ πίστιν βεβαιώσει. οἷον Ἰσοκράτης, Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι, τὸ μὲν ὡς οἱ μῦθοι λέγουσιν ἀναφορά, τὸ δὲ καὶ πάντες πιστεύουσιν ἡ βεβαίωσις. καὶ παραγρ. λα'[β']· „Ἰσοκράτης δὲ σαφῶς οὕτως αὐτὸ παραδίδωσι, μηδὲ πρὸς τὰς τῶν παραπλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων.“ μετὰ δ' Ἑρμογένη καὶ ἔνιοι τῶν ὕστερον γραμματικῶν καὶ τεχνογράφων ἐκ τοῦ πρὸς Δημόνικον λόγου πλείω παρατίθενται, οἷον Ἰωσὴφ Ῥακενδύτης, ὃς ἐν τῇ συνόψει τῆς ῥητορικῆς[γ'] γνώμην ἐκ τῆς ια' παραγραφῆς παρατίθεται προσθεὶς Ἰσοκράτη παραδιδόναι. Μάξιμος δὲ Πλανούδης, ὃς Σχολ. εἰς Εὑρέσ. τόμ. α'[δ']· ἑκάστη τῶν προτάσεων, φησὶν, ἰδία κατασκευὴ, ὡς Ἰσοκράτης προοιμιασάμενος ἐν τῷ πρὸς Δημόνικον· καὶ παρατίθεται τὴν ἀρχὴν τοῦ λόγου μέχρι τοῦ· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. καὶ ΡΒ'
Γρηγόριος ὁ Κορίνθιος εἰς τὸ περὶ μεθ. δεινότ. γ'· „ὁ Ἰσοκράτης,“ φησὶν[ε'], ἐν ταῖς παραινέσεσι παρίσοις ἐχρήσατο, ἵνα ποιήσῃ προσέχειν τοὺς ἀκούοντας καὶ ἀναγιγνώσκοντας· ἔστι δὲ τοιαῦτα· καὶ παρατίθεται διαφόρους γνώμας ἐκ τοῦ πρὸς Δημόνικον λόγου, πρῶτον μὲν τὴν ἀρχὴν τῆς λ' παραγραφῆς, ἔπειτ' ἄττα ἐκ τῆς ις' παραγρ., τὸ δὲ τελευταῖον ἄττα ἐκ τῆς κ' παραγρ. καὶ ὁ αὐτὸς Γρηγόριος εἰς τὸ περὶ μεθ. δειν.[ς'] πάλιν πλείω ἐκ τῆς ιη' καὶ ἐκ τῆς κ' παραγρ. παρατίθεται. ἔπειτα ὁ αὐτὸς[ζ'] κεφ. κε' τὴν ἀρχὴν τοῦ λόγου μέχρι τοῦ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν παρατίθεται. καὶ κεφ. κη' ὅλην τὴν ν' παραγρ. παρατίθεται[η'], διαῤῥήδην λέγων εἶναι ταῦτα Ἰσοκράτους ἐν τῷ πρὸς Δημόνικον λόγῳ. καὶ κεφ. λα' ἄττα ἐκ τῆς λ' καὶ λα' παραγρ. παρατίθεται[θ']. καὶ Φοιβάμμων ὁ σοφιστὴς ἐν τῷ περὶ σχημάτων ῥητορικῶν, βιβλ. α'. κεφ. α'· „καὶ παρὰ τῷ Ἰσοκράτει“, φησὶ, „τοῦ βίου τὴν ὁδόν.“ (Πρὸς Δημ. παρ. δ'.)

Καὶ γραμματικός τις ἀνώνυμος, οὗ σύγγραμμα ἐπιγραφόμενον· „περὶ συντάξεως ΡΓ'
ποῖα τῶν ῥημάτων γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσονται“ ἐξέδωκεν ἔτει ͵αωιδ' Ἐμμανουὴλ Βέκκηρος ἐν τοῖς Ἑλληνικοῖς Ἀνεκδότοις, περὶ τῆς συντάξεως τοῦ στέρ-

---

α') Οὕτω διώρθωσα τὴν γραφήν· τὰ γὰρ ἀντίγραφα ἔχει ἔσῃ.
β') σελ. υκζ' ἐκδ. Οὐαλσίου ἢ σελ. υνα' ἐκδ. Σπεγγ.
γ') Τεχνογρ. συλλ. Οὐαλσ. τόμ. γ', σελ. φι'.
δ') Τεχνογρ. συλλ. Οὐαλσ. τόμ. ε', σελ. τπγ'.
ε') Τεχνογρ. συλλ. Οὐαλσ. τόμ. ζ', σελ. ͵ασλε'.
ς') σελ. ͵ασξγ'.
ζ') σελ. ͵ασϞθ'.
η') σελ. ͵ατια'.
θ') σελ. ͵ατκς'.

γειν ῥήματος γράφει[α']· Ἰσοκράτης πρὸς Δημόνικον αἰτιατικῇ· μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου."

Ἀλλὰ πάσαις ταῖς προειρημέναις μαρτυρίαις τῶν γραμματικῶν τούτων καὶ τεχνογράφων ἐναντιοῦσθαι δοκεῖ ὅτι Ἁρποκρατίων ἐν ταῖς Ῥητορικαῖς Λέξεσιν ἐξηγούμενος τὸ „ἐπακτός" προστίθησιν „Ἰσοκράτης ὁ Ἀπολλωνιάτης ἐν ταῖς πρὸς
ΡΔ' Δημόνικον παραινέσεσιν". Ἐπειδὴ δ' Ἁρποκρατίων αὐτὸς ἄλλοθι[β'] παραθέμενος ἐκ τοῦ πρὸς Δημόνικον λόγου τάδε· „Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες" προστίθησιν ἁπλῶς· „Ἰσοκράτης παραινέσεσιν," δῆλόν ἐστιν, ὅτι τοῖς περὶ τοῦ Ἀπολλωνιάτου λεχθεῖσιν οὐ πάνυ δεῖ πιστεύειν, διότι ἐναντιοῦται τοῖς ὕστερον ῥηθεῖσιν. καὶ ἢ αὐτὸς ὁ Ἁρποκρατίων, εἰ ἀληθῶς τοῦτ' ἔγραψεν, ἐσφάλη ἐξαπατηθεὶς τῇ ὁμοιότητι τῆς ἐπιγραφῆς δυοῖν λόγοιν· καὶ γὰρ Σουίδας προτρεπτικὸν λόγον ὑπὸ τοῦ Ἀπολλωνιάτου Ἰσοκράτους συγγραφῆναί φησιν, ἢ ὅπερ πολὺ πιθανώτερόν ἐστι, τὸ „Ἀπολλωνιάτης" προσετέθη ὑπό τινος τῶν μεταγραφόντων, ὃς διὰ τὸ ἀσθενὲς τῆς φράσεως, ὥς φησιν ὁ καλούμενος Ζώσιμος, τὰς παραινέσεις τοῦ Ἀθηναίου Ἰσοκράτους οὐκ εἶναι ᾤετο.

ΡΕ' Ὅτι δ' ὁ πρὸς Δημόνικον λόγος οὐ δύναται εἶναι σύγγραμμα τοῦ Ἀπολλωνιάτου Ἰσοκράτους ἔξεστιν ἐπιδεῖξαι καὶ ὧδε. ἐπειδὴ ἡ λέξις, ᾗ ἐχρήσατο ὁ τὸν πρὸς Δημόνικον λόγον συγγράψας ὁμοιοτάτη ἐστὶ τῇ τοῦ μεγάλου Ἰσοκράτους καὶ μάλιστα ὅσον πρὸς τὴν χρείαν τῶν ἀντιθέσεων καὶ παρομοιώσεων παντάπασιν Ἰσοκράτειός ἐστιν, ἔτι δὲ πολλαὶ ῥήσεις Ἰσοκράτει οἰκεῖαι ἐν τῷ πρὸς Δημόνικον λόγῳ εὑρίσκονται, φανερὸν, ὅτι ὁ συγγράψας αὐτὸν ἢ Ἰσοκράτης αὐτός ἐστιν ἢ Ἰσοκράτη ἀκριβῶς ἐμιμήσατο. καὶ μὴν πάνυ ἀπίθανον ῥήτορα, ὃς διαφέρων τῶν ἄλλων μαθητῶν Ἰσοκράτους ὑπ' αὐτοῦ τῆς αὐτοῦ σοφίας διάδοχος ἀπεδείχθη, οὕτω τὸν διδάσκαλον μιμεῖσθαι, ὥστε καὶ ὅλας περιόδους αὐτοῦ ἐκγράψασθαι. Ἴσμεν δὲ τὴν Ἰσοκράτους λέξιν οὕτως ἰδίαν οὖσαν,
ΡϚ' ὥστε μηδένα τῶν μαθητῶν αὐτῆς παντελῶς ἐφικέσθαι. ἔπειτα ἐν τοῖς πέντε τοῦ Ἀπολλωνιάτου λόγοις τὸν πρὸς Δημόνικον λόγον Σουίδας οὐ καταριθμεῖ. ὅτι δ' ὁ ὑπὸ Σουίδα μνημονευθεὶς προτρεπτικὸς οὐκ ἔστιν ὁ αὐτὸς τῷ πρὸς Δημόνικον λόγῳ ἥ τε διαφορὰ τῆς ἐπιγραφῆς ἐπιδείκνυσι (καὶ δῆλον ὅτι Σουίδας τὸ κύριον ὄνομα οὐκ ἂν παρέλιπεν ἐν τῇ ἐπιγραφῇ) καὶ ὁ συγγράψας τὸν λόγον αὐτὸς περὶ τῶν τοὺς προτρεπτικοὺς λόγους συγγραφόντων διαλεγόμενος ψέγει αὐτοὺς, ἅτε οὐ περὶ τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβοντας καί φησιν αὐτὸς παραίνεσιν γράψαι. πρὸς δὲ τούτοις ἀνάγκη τὸν πρὸς Δημόνικον λόγον γραφῆναι πρὸ τοῦ τμ' ἔτους· καταφανὲς γάρ ἐστιν ἐκ τῶν ὑπ' Ἀναξιμένους ἐκ τοῦ πρὸς Δημόνικον λόγου παραληφθέντων, ὅτι πρὸ τῆς
ΡΖ' Ἀναξιμένους Ῥητορικῆς ἐγράφη· αὕτη δὲ τῷ τμ' ἔτει ἐγράφη[γ']. ἀπίθανον δὲ τὸν Ἀπολλωνιάτην Ἰσοκράτη ἔτι ζῶντος τοῦ μεγάλου Ἰσοκράτους γράψαι τὸν λόγον, ᾧ τοσαῦτα τοῦ διδασκάλου ὄντα ἐκγραψάμενος ἐγκατέμιξεν. οὗτος γὰρ αὐτὸς ἐπιτιμᾷ τοῖς τὰ ἀλλότρια λέγουσι[δ'] καὶ τὰ ἑαυτοῦ μιμησαμένοις[ε']· πῶς οὖν ἂν τοὺς μαθητὰς ταὐτὸ ποιεῖν εἴασεν;

Μέγιστον δὲ τεκμήριον τοῦ γνήσιον εἶναι τὸν πρὸς Δημόνικον λόγον παρέχεται

α') τόμ. α'. σελ. ρκα'.
β') Λέξ. παράκλησις. σελ. ρμε'.
γ') Ἴδε Βλασσίου περὶ τῶν Ἀττ. ῥητ. τόμ. β'. σελ. υιθ'.
δ') ΙΒ', ιη' (οὐδὲν παρ' αὐτῶν λέγοντες).
ε') ΙΒ', ρνε'. Ε', ια'· ὥστε καὶ τοὺς βασκαίνοντας ἡμᾶς μιμεῖσθαι καὶ θαυμάζειν αὐτὸν μᾶλλον τῶν καθ' ὑπερβολὴν ἐπαινούντων.

ἡ λέξις οὕτως ὁμοία οὖσα τῇ Ἰσοκρατείῳ ὥστε καὶ ῥήσεών τινων, αἳ ἐν τοῖς ἄλλοις λόγοις οὐχ εὑρίσκονται, χρείαν τῇ ὁμοιότητι ταύτῃ μὴ ἐπισκοτεῖν. καὶ πόλλ' ἂν περὶ αὐτῆς διελθεῖν δυνηθείην, εἰ πάντα ἐξαριθμῆσαι βουληθείην· ἐπεὶ δὲ ἡ πραγματεία ἥδε ἤδη οὕτως ἐμηκύνθη, διὰ βραχέων τὰ ὑπόλοιπα ἐπιτελεστέον μοι ἔσται.

Καὶ πρῶτον μὲν τὰ Ἰσοκράτεια σχήματα, λέγω δὲ τὰς ἀντιθέσεις καὶ παρι- ΡΗ'
σώσεις καὶ ὁμοιοτέλευτα, συχνὰ ἐν τῷ λόγῳ εὑρίσκεται, ὥστε καὶ ἐνίοις, ὥσπερ Κοραῇ, ἡ τῶν σχημάτων χρεία κατακορεστέρα εἶναι ἐδόκει. ὅτι δ' ἡ ἐνίοτε καὶ περιττὴ χρεία τῶν σχημάτων τούτων σημεῖόν ἐστι τῆς Ἰσοκρατείου λέξεως, ὁμολογεῖ καὶ Διονύσιος. καὶ εἰ Κοραῆς[α']) τὴν ἰδέαν τοῦ λόγου φησὶν ἀφεστάναι τῆς Ἰσοκρατείου ἰδέας, οὐκ ἄλλο λέγειν δοκεῖ ἢ ὅπερ ἤδη ἄνω ἐλέγχειν ἐπειράθην ὁμολογῶν ἐν τῷ πρὸς Δημόνικον λόγῳ, ὥσπερ καὶ ἐν τοῖν δυοῖν ἄλλοιν παραινεσέοιν οὐκ ἐνεῖναι οὕτω μακρὰς καὶ οὕτω τεχνικῶς κατεργασθείσας περιόδους, οἵας ἔστι πανταχοῦ εὑρεῖν ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις· ἀλλὰ τὸ αἴτιόν ἐστιν, ὅτι ἡ ὑπόθεσις πολὺ καταδεεστέρα οὖσα οὐδὲ συγχωρεῖ τοιαύτην μεγαλοπρέπειαν. καὶ ἐλέξαμεν ἤδη Ἰσοκράτη ἐν τῇ Ἀντιδόσει μέρος τοῦ πρὸς Νικοκλέα λόγου ἀναγνώσεσθαι μέλλοντα ὑπὲρ τῆς ἁπλότητος τοῦ λόγου ἀπολογήσα-
σθαι[β']). ἐπεὶ δὲ πάντων τῶν ἄλλων λόγων τῶν Ἰσοκράτους οὐδείς ἐστιν ὅσον πρὸς ΡΘ'
τὴν ὑπόθεσιν τῷ πρὸς Δημόνικον ὁμοιότερος τοῦ πρὸς Νικοκλέα, οὐ θαυμαστὸν πολλάκις τὰς αὐτὰς διανοίας, ἃς ἐν τῷ πρὸς Δημόνικον εὑρίσκομεν, μόνον οὐχὶ κατὰ λέξιν ἐν τῷ πρὸς Νικοκλέα ἐπαναληφθῆναι. καταφανὲς δὲ τοῦτο ἔσται ἐκ τοῦ πίνακος τοῦδε, ἐν ᾧ τὰ ἀντίστροφα ὄντα ἀντιτίθεται.

ΤΟΥ ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ	ΤΟΥ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ
παραγρ. ιβ'· ἡγοῦ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσει κτλ.	παραγρ. ια'· ὥστ' οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν ὡς τοῖς βασιλεύουσι τὴν ψυχήν κτλ.
ιγ'· εὐσέβει τὰ πρὸς τοὺς θεούς κτλ.	κ'· τὰ πρὸς τοὺς θεοὺς ποίει κτλ.
λθ'· βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων.	λε'· ἂν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόντων βουλεύσει.
μγ'· μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν.	λϛ'· μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν καὶ σαυτῷ καὶ τῇ πόλει διαφυλάττειν.
μδ'· καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν.	μ'· καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων ἐστίν, ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο παρέλαθεν.
με'· τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν ὥσπερ τῶν σι-	με'· ὅλως γὰρ εἰ ἐθέλοιμεν σκοπεῖν τὰς φύσεις τὰς τῶν ἀνθρώπων

α') Ἴδε ἄνω σελ. γ'. σημειώσ. α'.

β') Ὡσαύτως καὶ οἱ δικανικοὶ λόγοι καὶ ἐν πρώτοις ὁ Τραπεζιτικὸς κατὰ τοῦτο πολὺ διεστᾶσι τῶν συμβουλευτικῶν, ὃ οὐκ ἔλαθε Διονύσιον, ὃς παραθέμενος πλείω ἐκ τοῦ Τραπεζιτικοῦ· „Ταῦθ' ὅτι μὲν ὅλῳ τῷ γένει διαφέρει," φησί, „τῶν ἐπιδεικτικῶν καὶ τῶν συμβουλευτικῶν κατὰ τὸν χαρακτῆρα τῆς λέξεως οὐθείς ἐστιν, ὅστις οὐκ ἂν ὁμολογήσειεν" κτλ.

τίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας.

με'· οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσιν.

εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις κτλ.

μβ'· πλησιάζειν δὲ βούλονται τοῖς συνεξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσιν.

ΡΙ' Πρὸς δὲ τούτοις πολλὰ τῶν ἐν τῷ πρὸς Δημόνικον λόγῳ λεχθέντων ὁμοιότατά ἐστι καὶ τοῖς ἐν ἄλλοις λόγοις λεχθεῖσιν, ὡς τάδε·

Λόγ. Α', ε'· συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν.

Λόγ. Η', παραγρ. ξβ'· συμβουλεύειν, τίνων ἀπεχόμενοι καὶ ποίων ὀρεγόμενοι παυσαίμεθ' ἂν ταύτην ἔχοντες τὴν γνώμην[α']) κτλ.

Α', η'· ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν.

Ι', με'· τὴν ἄνοιαν . . . ῥᾴδιον ἅπασι καταμαθεῖν.

Α', ια'· ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα.

Ϛ', πα'· ἐπιλίποι δ' ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ τὰς πλεονεξίας τὰς ἐσομένας λέγειν ἐπιχειρήσαιμεν[β']).

Α', μη'· ἐνθυμοῦ δ' ὅτι.

Ε', ρμ'· ἐνθυμοῦ δ' ὅτι.

ΡΙΑ' Ἄλλας δ' ὁμοιότητας πολλὰς εὑρίσκομεν πανταχοῦ· καὶ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὁ τὸν πρὸς Δημόνικον λόγον συνθεὶς αὐταῖς ταῖς λέξεσι καὶ ῥήσεσι χρῆται, αἷς ὁ τοὺς ἄλλους λόγους συγγράψας. ἵνα δὲ τὰ ἀξιολογώτερα καὶ ταῦτα μόνον ἐκ τῶν προτέρων παραγραφῶν παραληφθέντα προθῶ, παραγρ. α' ὅτι ἀντιτίθενται ἀλλήλοις οἱ φαῦλοι καὶ οἱ σπουδαῖοι, ἡ ἀντίθεσις ἥδε καὶ εὑρίσκεται ΙΕ', σν'· πρὸς δὲ τούτοις τὰ δύο ῥήματα σπουδαῖος καὶ φαῦλος Ἰσοκράτει οἰκειότατά ἐστι. καὶ ὥσπερ ἐνταῦθα τὰς τῶν σπουδαίων γνώμας ἀντιτίθησι ταῖς τῶν φαύλων διανοίαις, οὕτω λόγ. Γ', παραγρ. ιϛ' ταῦτα τὰ ὀνόματα ἀντιτίθεται ἐν τοῖσδε· ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν. καὶ „ὁ πᾶς αἰὼν" καὶ ἄλλοθι εὑρίσκεται παρ' Ἰσοκράτει, οἷον Δ', κη'· „τοῦ σύμπαντος αἰῶνος" καὶ Ϛ', ρθ'· „πάντα τὸν
ΡΙΒ' αἰῶνα". καὶ ὅπερ μετ' ὀλίγον λέγει „τὸ δῶρον" οὐκ ἐν πολλῇ χρείᾳ ἐστὶ παρ' Ἰσοκράτει· καὶ γὰρ ὡς ἐπὶ τὸ πολὺ προείλετο εἰπεῖν δωρεάν[γ']). οὐ μὴν ἀλλὰ καὶ δῶρον εὑρίσκεται ἔτι ἄλλοθι, Β', ζ'. καὶ ὥσπερ φιλίαν τὴν πατρικὴν εἶπε, παραγρ. β', οὕτω πατρικοὺς ἐχθροὺς ἔγραψε Ε', ρκϛ'. καὶ τοὺς τὰς πατρικὰς βασιλείας παραλαβόντας, Θ, λε'. καὶ τοῖς παραγρ. γ' λεχθεῖσιν· „Ὁρῶ

α') Παράβ. καὶ Β', β'· εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος καὶ τίνων ἔργων ἀπεχόμενος ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης. ΙΕ', σιζ'· πρῶτον μὲν ὁρίσασθαι δεῖ, τίνων ὀρεγόμενος καὶ τίνος τυχεῖν βουλόμενοι τολμῶσί τινες ἀδικεῖν.

β') Καὶ Η', νϛ'· Ἐπιλίποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμελείας . . . ἐξετάζειν ἐπιχειρήσαιμεν.

γ') ὡς Β', κβ'. νδ'. Δ', ϟδ'. Ε', ϟα'. Ϛ', λα'. ΙΕ', μ'. ΙΗ', ξϛ'. ΙΘ', β'.

δὲ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν“ παντάπασιν ὅμοιά ἐστιν, ἃ Θ', νθ' λέγει· τὴν τύχην αὐτῷ συναγωνιζομένην.

Καὶ ὅτι λέγει „τοὺς φιλοσοφοῦντας ἐπανορθῶ“, ἴσμεν Ἰσοκράτη τῷ ΡΙΓ'
φιλοσοφεῖν χρώμενον ἐπὶ τῶν περί τι, μάλιστα δὲ περὶ τὰς ἐπιστήμας καὶ τὴν ῥητορικὴν σπουδαζόντων καὶ ταύτην τὴν σημασίαν τὸ ῥῆμα καὶ ἐν τῷ πρὸς Δημόνικον λόγῳ ἔχον ὁρῶμεν. καὶ ὅπερ παραγρ. δ' εὑρίσκομεν „τοὺς νεωτέρους“ καὶ τοῦτο Ἰσοκράτει οἰκειότατόν ἐστι καὶ ἐν συχνῇ χρείᾳ παρ' αὐτῷ· μόνον οὐχὶ γὰρ ἀεὶ τοὺς νέους ἢ νεανίσκους καὶ ὅλως τοὺς μαθητὰς „νεωτέρους“ ὀνομάζει τῷ συγκριτικῷ τρόπῳ χρώμενος· ὥστε καὶ Βησέληρος τὸ „νέος“, ὃ ἔστι παραγρ. ϛ', Ἰσοκράτους οὐκ εἶναι οἴεται. εὑρίσκεται δ' ὅμως Δ', ρπε', ΙϚ', λ' καὶ Ἐπιστ. Γ', ϛ'. Η', η'. τὸ δὲ νεώτερος τετράκις ἐν τῷ πρὸς Δημόνικον λόγῳ εὑρίσκεται (παραγρ. δ', ε', ιε', ιθ').

Καὶ εἰσηγεῖσθαι, ᾧ χρῆται Ἰσοκράτης παραγρ. δ' ἐν τοῖσδε· ὅσοι δὲ τοῖς ΡΙΔ'
νεωτέροις εἰσηγοῦνται κτλ., ῥῆμα μέν ἐστιν οὐ μόνον παρὰ τοῖς ἄλλοις ῥήτορσιν, ἀλλὰ καὶ παρ' Ἰσοκράτει σπάνιον· οὐ μὴν ἀλλ' εὑρίσκεται παρ' Ἰσοκράτει καὶ Δ', ρο'. Ζ', νθ' καὶ Ἐπιστ. Α', παραγρ. ζ', ὅπου ἔγραψεν· εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγούμην· συντάξει παντάπασιν ὁμοίᾳ χρησάμενος. ὡσαύτως δὲ καὶ τὸ ὄνομα παράκλησις, ᾧ χρῆται παραγρ. ε' οἰκεῖόν ἐστιν Ἰσοκράτει, ὃς αὐτῷ χρῆται καὶ Ε', πθ'. ϟβ'. Θ', οϛ'. ΙΒ', σλϛ'. οἰκειότατον δ' Ἰσοκράτει ἐστὶ καὶ τὸ ὀρέγεσθαι, ὥσπερ ἔδειξα ἤδη ἄνω παραγρ. ΡΙ', σελ. λβ'. — Καὶ ὅτι παραγρ. ϛ' τῷ ἀορίστῳ χρήσασθαι ἀρξάμενος ἐπὶ πράξεως γίγνεσθαι φιλούσης ἔπειτα ἐπὶ τὸν ἐνεστῶτα μεταβαίνει, εἶτα δ' αὖθις τῷ ἀορίστῳ χρῆται, ταύτης τῆς χρείας παραδείγματα καὶ ἄλλοθι εὑρίσκεται παρ' Ἰσοκράτει, ὡς Δ', μϛ'· χωρὶς δὲ τούτων αἱ μὲν ἄλλαι πανηγύρεις διὰ πολλοῦ χρόνου συλλεγεῖσαι ταχέως διελύθησαν, ἡ δ' ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμένοις πανήγυρίς ἐστιν. καὶ Θ', δ', αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν· οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις τὰς αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν. Ἄλλα δὲ παραδείγματα τῆς αὐτῆς συντάξεως εὑρίσκεται ἔτι Ι'. ζ' καὶ ΙΒ', σμη'. — Καὶ ἡ θέσις τῶν ῥημάτων, ΡΙΕ'
ᾗ ἐχρήσατο παραγρ. ζ'· πλούτου δὲ κρείττων, χρησιμωτέρα δ' εὐγενείας ἐστίν — χιασμὸν καλοῦσιν οἱ γραμματικοί — εὑρίσκεται καὶ Δ', ϟε' ἐν τοῖσδε· αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν ἢ ζῆν αἰσχρῶς. καὶ ὥσπερ παραγρ. ε' ἡ ἀρετὴ ἐν τοῖς κτήμασιν ἀριθμεῖται, οὕτως Ἰσοκράτης καὶ ἄλλοθι Γ', μγ' τὴν δικαιοσύνην καὶ τὴν σωφροσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν εἶναι γράφει. ὁμοίως δὲ καὶ σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων τῶν κτημάτων λέγεται, Β', νγ'. καὶ διοικεῖν τὸν βίον, ᾧπερ ἐχρήσατο παραγρ. ι', εὑρίσκομεν καὶ Ε', ρζ'· ἠπίστατο τοὺς μὲν Ἕλληνας οὐκ εἰθισμένους ὑπομένειν τὰς μοναρχίας, τοὺς δ' ἄλλους οὐ δυναμένους ἄνευ τῆς τοιαύτης δυναστείας διοικεῖν τὸν βίον. παραπλήσιον δ' ἐστὶ καὶ τὸ διοικεῖν τὰς ἑαυτῶν διανοίας, ΙΒ', σοβ'. — Καὶ τῷ τοῖς ΡΙϚ'
φίλοις κοινὸς παντάπασι παραπλήσιον ὃ εὑρίσκεται Ε', π'· ἣν ἐθελήσῃς κοινὸς ἅπασι γενέσθαι. — Παραγρ. ια' εὑρίσκεται τὸ δεῖγμα, ὄνομα οὐκ ἐν πολλῇ χρείᾳ ὄν. ὅμως δ' ἔτι εὑρίσκεται ΙΕ', νδ'· ὥσπερ τῶν καρπῶν ἐξενεγκεῖν ἑκάστου δεῖγμα πειράσομαι. καὶ Η', πθ' καὶ Ἐπιστ. Η', ϛ'. καὶ ἡ σύνταξις τοῦ ῥήματος ἐπιδιδόναι, ᾗ χρῆται παραγρ. ιβ', εὑρίσκεται καὶ Γ', λβ'. Δ', ργ'. Η', κ'. ξδ'. καὶ

ὅπερ παραγρ. ιδ' εἶπε· τῶν περὶ τὸ σῶμα γυμνασίων τούτῳ ὅμοια εὑρίσκεται ἄλλοθι. καὶ πρῶτον τὸ μὲν γυμνάσιον ταύτην τὴν σημασίαν ἔχει Β', ιγ'. να'. Ζ', με'. ΙΕ', ρπη'. τὸ δὲ περὶ τὸ σῶμα φαίνεται λελεγμένον ἀντὶ τοῦ σώματος· τὸ δ' αὐτὸ τοῦτο περὶ τὸ σῶμα εὑρίσκεται καὶ Β', λβ'· τοῖς περὶ τὸ σῶμα κόσμοις καὶ Η', λθ'· τὰ περὶ τὸ σῶμα νοσήματα καὶ ΙΒ', ζ'· ἡ περὶ τὸ σῶμα ... ὑγίεια. πρὸς δὲ τούτοις ἀπολείπειν ἁπλῶς λέγεται παραγρ. ιθ' ἐν τοῖσδε· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, ἀλλ' ἡ αὐτὴ χρεία εὑρίσκεται καὶ Η', ογ'. ΙΒ', ρν'.

ΡΙΖ' Ἀλλὰ ταῦτα μὲν δὴ ταῦτα. δεῖ γὰρ ἤδη τέλος ἐπιθεῖναι τῇ πραγματείᾳ· τὰ δὲ προτεθέντα ἱκανὰ εἶναι νομίζω ἐπιδεῖξαι, ὡς ὁμοία ἡ λέξις, ᾗ κέχρηται ὁ τὸν πρὸς Δημόνικον λόγον συγγράψας, τῇ ἀληθῶς Ἰσοκρατείῳ ἐστίν. καὶ δὴ καὶ τὴν τῆς λέξεως ὁμοιότητα ταύτην μέγα τεκμήριον εἶναι νομίζω ἐπιδεικνύον, ὅτι τοῦ Ἀθηναίου Ἰσοκράτους γνήσιον σύγγραμμά ἐστιν ὁ πρὸς Δημόνικον λόγος. καὶ ταύτην τὴν ὁμοιότητα λέγειν δοκεῖ καὶ Σαύππιος περὶ τοῦ πρὸς Δημόνικον λόγου γράφων τάδε [α')]· „Πολλὰ μὲν ἐν τῷ λόγῳ ἔνεστι τὰ ἐπιδεικνύοντα, ὡς Ἰσοκράτους τοῦ Ἀθηναίου ἐστὶν, οὐδὲν δ' ἀναγκάζον ἡμᾶς ἄλλου ῥήτορος αὐτὸν εἶναι νομίζειν."

α') Ἀποσπασμ. τῶν Ἀττικῶν ῥητ. σελ. σμε'.

Schulnachrichten.



A. Chronik der verbundenen Anstalten.

Das Schuljahr 18$^{75}/_{76}$ schloss, wie gewöhnlich, mit dem Sittenfeste und der sich daran knüpfenden Entlassung der 12 Abiturienten (9 aus dem Gymnasium, 3 aus den Realklassen) am 7. April ab. Der Director sprach bei dieser Gelegenheit über den Begriff der akademischen Freiheit der Jugend. Die Feier wurde gehoben durch die Anwesenheit des Durchlauchtigsten regierenden Fürsten. Der Abend vereinte die Primaner und Secundaner bei einem von den Entlassenen veranstalteten Balle im Gasthofe zum Adler.

Die Aufnahmeprüfung der für Sexta angemeldeten Schüler erfolgte am 22. April; am 24. wurden die für andere Klassen Angemeldeten geprüft. Der Unterricht begann am 25. April, an welchem Tage der neu eintretende Lehrer der Mathematik, Herr Dr. Lehmann, nach der Morgenandacht von mir in sein Amt eingeführt wurde.

Das heilige Abendmahl feierten Lehrer und Schüler der Anstalt nebst den Frauen und Töchtern der Lehrer am 31. Mai und am 25. November. Die Vorbereitungsandachten hielten nachmittags zuvor die Herrn Schulrath und Oberlehrer Wächter.

Die Pfingstferien dauerten vom 4. bis 11. Juni.

Gleich im Beginn derselben verlor das Gymnasium seinen nächsten Chef, den Herrn Staatsrath Theodor Schwartz, durch den Tod (5. Juni). Derselbe hatte schon in früheren Jahren längere Zeit an der Spitze der Schulangelegenheiten des Fürstenthums gestanden und war in der Mitte des Jahres 1873 abermals mit der Leitung derselben betraut worden. Seine milde Freundlichkeit und sein theilnehmendes Wohlwollen haben ihm zu allen Zeiten das herzliche Vertrauen der Lehrer des Fürstl. Gymnasiums erworben und erhalten. Wie die hier damals anwesenden Lehrer ihm ihren innigen Dank in die Gruft nachgerufen haben (7. Juni), so spreche ich auch an dieser Stelle denselben aus für alle Liebe und alles Sorgen, welches er der Anstalt gewidmet hat. — An seine Stelle trat Herr Geheimer Regierungsrath Hauthal, der schon mehrere Jahre zuvor als erster Rath in der Ministerialabtheilung für Kirchen- und Schulangelegenheiten thätig gewesen war, so dass das zuversichtliche Vertrauen seiner Untergebenen ihm von vorn herein entgegen kam.

Der Sommerausflug unsrer Schüler konnte leider nicht in gewohnter Weise erfolgen, da mehrere Klassen der Anstalt dergestalt von den Masern heimgesucht wurden, dass in der Sexta fast die Hälfte der Knaben gleichzeitig an denselben erkrankt war. So wurde beschlossen, die intact gebliebenen Klassen zunächst am 19. Juni die Excursion unternehmen zu lassen. Die Prima wanderte am 19. Juni unter Leitung des Directors durch das Schwarzathal bis zur Oppelei, von da über die Berge zur Fasanerie; Tertia und Quarta des Gymnasiums und die ganze Quinta, geführt von den Oberlehrern Herrn Haushalter und Wächter, den ordentlichen Lehrern Herrn Krausse und Dr. Bangert, fanden ihr Ziel in Remda. Die Secundaner und Obertertianer der Realschule traten ihren dreitägigen Ausflug ebenfalls am 19. Juni unter der Führung des Herrn Dr. Lehmann (Herr Professor Speerschneider war fusskrank) an. Derselbe erstreckte sich über das Schwarzathal, Blechhammer, Glasbach, Blumenau, Katzhütte, den Wurzelberg, Scheiba, Neuhaus am Rennsteig und machte längern Halt zur Besichtigung und Erklärung des Eisenwerkes in Katzhütte, der Porzellanfabrik in Scheiba und der Glasbläserei in Neuhaus. Die Untertertia und Quarta der Realschule, geleitet von den Professoren Herrn Hörcher und Speerschneider, besuchten die Schlossruine Greifenstein, deren Geschichte und früherer Bau erklärt wurde, und kehrten über Werrasitz und Eberstein heim. Die Excursion der Secunda des Gymnasiums fand erst am 30. August unter der Führung des Herrn Professors Liebhold statt; sie be-

rührte Saalfeld, Arnsgereuth und Braunsdorf und kehrte durch das Werrathal zurück. Die Sextaner endlich zogen im Geleit ihres Klassenlehrers Herrn Wagner am 5. September über Keilhau, den Steiger und Blankenburg nach dem norddeutschen Hofe, von wo sie vor Einbruch des Abends heimkehrten. Alle diese Fahrten waren vom günstigsten Wetter begleitet. Leider hatte jedoch das Gymnasium bei dem Ausfluge nach Remda eine durch die Unbesonnenheit eines Mitschülers herbeigeführte schwere Verletzung eines Tertianers zu beklagen.

Die Sommerferien dauerten vom 9. Juli bis zum 6. August.

Während derselben sprach das Gymnasium einem seiner ältesten Schüler, dem Herrn Geheimen Finanzrath Bamberg, am Tage, an welchem derselbe sein 50jähriges Amtsjubiläum feierte (25. Juli), durch den Mund des Herrn Schulrathes Wächter (der Director war durch verwandtschaftliche Rücksichten verhindert) seine Theilnahme und seine herzlichen Glückwünsche aus.

Am Gedächtnisstage des wiederhergestellten deutschen Reiches (2. September) hielt die Festrede Herr Gymnasiallehrer Henkel, welcher die Politik Frankreichs Deutschland gegenüber in eingehender Darlegung schilderte. Leider verhinderte die sehr zweifelhafte Witterung des Tages die gewohnte Bergfeier von Seiten des Gymnasiums. Am Abend jedoch waren die Primaner und Secundaner in fröhlichem Kreise mit den Lehrern versammelt.

Nach mehrjähriger Unterbrechung wurden die hier sogenannten Classenexamina, d. h. die Prüfungen der einzelnen Klassen in einem und demselben Lehrgegenstande vor versammeltem Lehrercolleg, wieder aufgenommen. Am 25. und 26. September prüften und unterrichteten die betreffenden Lehrer in täglich fünf Stunden die zehn Klassen der Anstalt, von Sexta beginnend, in lateinischer Grammatik, resp. Stilistik. An die Prüfungen jedes Tages schloss sich eine längere Conferenz zur Besprechung der hervorgetretenen Eigenthümlichkeiten und zu eingehender Berathung der zu befolgenden Behandlungsart des Stoffes.

Die hundertundelfte Sommersche Redefeierlichkeit wurde am 30. September abgehalten. Es traten bei derselben als Redner auf: die Oberprimaner Robert Elling, welcher den historischen und den Schillerschen Don Carlos vergleichend einander gegenüberstellte, und Werner von Klitzing, welcher ein römisches Gastmahl aus der Kaiserzeit schilderte, der Obersecundaner Johannes Gehring, welcher über das Land der Pharaonen sprach, und der Untersecundaner Max Quarck, welcher eine Charakteristik von Moriz von Sachsen gab.

Am 7. Oktober, an welchem Tage das neu errichtete Gymnasium in Jena eingeweiht wurde, entsandte das Fürstl. Gymnasium an den Director des benachbarten Gymnasiums, Herrn Professor Dr. G. Richter, eine vom Unterzeichneten verfasste (seitdem in den Verlag von B. G. Teubner übergegangene) bewillkommnende und beglückwünschende Abhandlung: adnotationes criticae ad Tertulliani librum de spectaculis (15 S.).

Nach dieser Feier begannen die Michaelisferien, welche bis zum 15. Oktober dauerten.

Die Festrede am Luthertage (10. November) hielt Herr Oberlehrer Wächter über Luthers Verhältniss zu seinem Landesfürsten.

Am Geburtsfeste des Durchlauchtigsten Fürsten (23. November) sprach Herr Professor Speerschneider über Fürst Friedrich Karl als Naturforscher. Wir stellten an diesem Tage die uns von Herrn Fabrikbesitzer List in Neuhaus a. R. geschenkte Büste des Landesherrn in der Aula des Gymnasiums auf. Unsere dem Durchlauchtigsten Herrn nach Frankenhausen gesandten Segenswünsche wurden in einem gnädigen Telegramm beantwortet. Die Lehrer betheiligten sich am Festmahl des Tages und sahen am Abend die Schüler der beiden obersten Klassen in fröhlicher Runde um sich versammelt.

Der 13. December brachte eine Jubelfeier für das ganze schwarzburger Land. Es war der Tag, an welchem vor 25 Jahren Herr Staatsminister Geheime Rath Dr. iur. v. Bertrab Excellenz die leitende Stellung antrat, welche er seitdem im Fürstenthume einnimmt. Das Fürstliche Gymnasium weihte dem hochverehrten Jubilar eine Festschrift von 75 Seiten, enthaltend eine Festode vom Oberlehrer Haushalter, eine neue Ausgabe von Tertullians Buch de spectaculis von dem Director, nach einer neuen Collation des cod. Agobardinus, nebst kritischem Anhange (dieselbe ist seitdem in den Buchhandel unter der Firma B. G. Teubner übergegangen), und eine Abhandlung des Professors Liebhold: quo iure Plato partes civitatis ab animae humanae partibus repetiisse videatur, ausserdem eine vom Musiklehrer des Gymnasiums, Hoforganist Jahn, componirte Festouvertüre zu vier Händen. Die Festschrift trägt in Lapidarstil den Titel: uiro excellentissimo Arminio Jacobo de Bertrab serenissimi principis Schwarzburgici amico socio omnium consiliorum administro unico rerum Schwarzburgo-Rudolphopolitanarum custodi statori conservatori diem auspicatissimum quo rem publicam per quinque lustra magno principis magno ciuium plausu administrauit qui dies est ipsis idibus

Decembribus anni MDCCCLXXVI pio memori grato animo congratulantur optimis ominibus prosequuntur gymnasii Fridericiani director et collegae. Das Lehrercollegium, dem sich die principes iuuentatis des Gymnasiums und der Realklassen angeschlossen hatten, hatte die Ehre, dem Herrn Jubilar diese kleine Gabe selbst zu überreichen, bei welcher Gelegenheit der Director der herzlichen Theilnahme und Dankbarkeit der ganzen Anstalt folgende Worte lieh: »Excellenz! Ehrwürdiger Herr Jubilar! Auch wir, die Lehrer der höchsten Unterrichtsanstalt Schwarzburgs, erscheinen heute vor Ihnen mit dem allen Mitbürgern gemeinsamen Gefühle, dem Gefühle freudig dankbarer Huldigung für den in Glück und Leid bewährten Mann, der fast eine volle Menschengeneration hindurch die Geschicke dieses Landes mit der lichten Klarheit eines durchdringenden Verstandes und mit der warmen Liebe eines Vaterherzens geleitet hat. Uns allen ist durch Sie das seltene Glück geworden, mit stolzer Ehrfurcht dem Gebieter nahen zu dürfen: denn jeder unter uns hat stolz gehorcht, sich selbst zu dienen jeder nur geglaubt, weil ihm das Rechte nur befohlen ward. Wir legen, ehrwürdiger Herr Jubilar, zu Ihren Füssen den freudig gerührten Dank nieder, den das Gymnasium dieses Landes, den jeder Einzelne unter uns Ihnen schuldet, weiss und bewahren wird, und erneuern an diesem Ihrem Ehrentage freien und fröhlichen Herzens das Gelübde freudigen Gehorsams, treuer Pflichterfüllung und unwandelbaren, herzlichen Vertrauens. Nehmen Sie freundlich das kleine Andenken an diesen für Sie und uns ewig denkwürdigen Tag entgegen, welches wir als Zeichen unsrer innigsten Dankbarkeit und als Pfand unsrer Gelübde Ihnen bittend entgegenzubringen uns erlauben: Sie werden, wir wissen es, dasselbe nicht nach seinem wissenschaftlichen oder künstlerischen Werthe, Sie werden es nach der Gesinnung messen, welche uns die Frucht eigenen Fleisses und eigener Ihnen geweihter Arbeit als das für uns geeignetste Angebinde dankbar verehrender Herzen erscheinen liess. Verzeihen Sie, dass Sie in unserm Geleite diese beiden Jünglinge sehen, welche die Schüler der verbundenen Anstalten vertreten: es wird ihnen und durch ihren Mund den Jünglingen und Knaben des Gymnasiums für ihr ganzes Leben zum Heile gereichen, Zeuge gewesen zu sein von der dankbaren Verehrung, welche ächtes Verdienst auch jetzt noch auf Erden findet. Und nun, ehrwürdiger Herr Jubilar, behüte Gott Ihr theures Haupt und alle die, welche Ihrem Herzen nahe stehen, und möge der Allmächtige, welcher Ihnen eine reich gesegnete Vergangenheit verliehen hat, Ihrem schaffenden Geiste die rüstig frische Kraft auch ferner gewähren, Ihnen selbst zur innersten Befriedigung, dem Staate zum Heil und uns und allen Thüringern zum gerechten Stolze!»

Zur Thomasfeier, am 21. December, hielt im Rathhause der Stadt die Festrede der Primaner Karl Bauermeister über Benjamin Franklin als Muster eines nordamerikanischen Bürgers.

Die Weihnachtsferien dauerten vom 23. December bis zum 6. Januar.

In der Woche vom 5. bis zum 10. Februar wurde die schriftliche Prüfung der 11 Gymnasial- und 3 Realabiturienten, das mündliche Examen der erstern am 12., der letztern am 14. März unter dem Vorsitze des Fürstl. Commissars, Herrn Generalsuperintendenten Leo, abgehalten.

Das Geburtsfest Sr. Majestät des deutschen Kaisers werden wir am 22. März feiern. Die Festrede wird Herr Gymnasiallehrer Krausse halten und in derselben die Jugend des kaiserlichen Herrn schildern.

B. Lehrer.

